**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Πλούτων Περσεφόνην τὴν Δήμητρος θυγατέρα ἥρπασεν. 2. Ἡγοῦ τῆς ὁδοῦ, ὦ μῆτερ, καὶ πρὸς αὐτὴν βαδίζειν πειράσομαι. 3. Σώφρονες ἄνδρες οὔποτε ταῖς τῆς γαστρὸς ἡδοναῖς δουλεύουσιν. 4. Ὁ ἀργὸς βίος κακοῖς ἀνδράσιν ἴδιός ἐστιν. 5. Ταῖς μητράσιν οἱ παῖδες κόσμος πολύς εἰσίν. 6. Χρηστοὶ πολῖται τοῖς μὲν πατράσι τίμιος κόσμος εἰσίν, τοῖς δὲ παισὶ λαμπρὰ παραδείγματα.

Παρατηρήσεις. Ἐπὶ τῶν ὀνομάτων τῆς Γ' κλίσεως.

57. α'. Κατ' ἀναλογίαν τοῦ παῖς, πῦρ (§ 7, ϛ' 5) περισπῶνται καὶ τὰ μονοσύλλαβα· μῦς, δρῦς, σῦς, ὗς, εἷς, πᾶς βοῦς, γραῦς, ναῦς.

β'. Τὰ μονοσύλλαβον θέμα ἔχοντα ὀνόματα (πλὴν τῶν μετοχῶν) τὴν γεν. καὶ δοτ. παντὸς ἀριθμοῦ τονίζουσιν ἐπὶ τῆς καταλήξεως καὶ τὰς καταλήξεις ων καὶ οιν περισπῶσι, θήρ, θηρός, θηρί, θηρῶν, θηρσί, θηροῖν· ἐξαιροῦνται καὶ τονίζουσι τὴν παραλήγουσα ἐν τῇ γεν. καὶ δοτ. τοῦ δυϊκοῦ καὶ πληθ. τὰ ἑξῆς· παῖς, Τρώς, θώς, οὖς, φῶς, πᾶς, γεν. παίδων, παίδοιν, κλ. οὕτω καὶ πάντων, πᾶσι καὶ σής γεν. σέων.

58. Ἡ κλητικὴ τοῦ ἑνικοῦ

1) Τῶν μὲν ἀφωνολήκτων θεμάτων, πλὴν τῶν εἰς ιδ, εἶναι ὁμοία πρὸς τὴν ὀνομ., ἐὰν δὲ τὸ θέμα λήγῃ εἰς ντ, τὸ τ ἐκπίπτει· ὦ Ἄραψ, ὦ Αἶαν· Ἀλλ' ὦ Πολυδάμα.

Τὰ εἰς ις ἀποβάλλουσι τὸ -ς· ὦ Ἄρτεμι, ὦ τυραννί, ὦ παῖ (ἡ ὀνομ. πάϊς παῖς).



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

2. Τῶν ὀξυτόνων καὶ τῶν περισπωμένων οὐσιαστικῶν καὶ τῶν μετοχῶν εἶναι ὁμοία πρὸς τὴν ἑνικ. ὀνομ., ὦ ὀδούς, ὦ ἱμάς, ὦ πλακοῦς, ὦ γράφων, ὦ γράψας.

3) Τῶν ἐπιθέτων εἰς -ων (πλὴν τῶν εἰς φρων) ὁ τόνος ἀναβιβάζεται ἐν τῇ κλητ. καὶ τῷ οὐδετ., ὦ κάλλιον, τὸ κάλλιον, ὦ πολύπραγμον, τὸ πολύπραγμον, ἀλλ' ὦ Λυκόφρον· ἀλλ' οὐχὶ πέραν τῆς ληγούσης τοῦ πρώτου συνθετικοῦ· κατὰ ταῦτα καὶ τὰ ὦ Ἄπολλον, ὦ Πόσειδον.

4. Τὰ πατήρ, ἀνήρ, θυγάτηρ, Δημήτηρ καὶ σωτὴρ ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ κλητ. τοῦ ἑνικοῦ, ὦ πάτερ κλ.

59. Ἡ αἰτ. τοῦ ἑνικοῦ τῶν ἀφωνολήκτων λήγει εἰς α πλὴν τῶν εἰς -ις, -υς καὶ -ους βαρυτόνων, ὧν ἡ αἰτ. λήγει εἰς ν· ἀσπίδα, κερκίδα, ἀλλὰ ἔριν, χάριν, κόρυν, πολύπουν, (κλεὶς) κλεῖν.

60. Ἡ δοτ. τοῦ πληθυντικοῦ σχηματίζεται κατὰ τὰ ἐν § 51, α', ἀλλὰ τὰ οὐσιαστικὰ καὶ τὰ ἐπίθετα τὰ ἔχοντα φωνῆεν πρὸ τῆς εἰς -εις ληγούσης ὀνομαστικῆς δὲν ἐκτείνουσι τὸ πρὸ τοῦ ντ φωνῆεν ἐν τῇ δοτ. πληθ., χαρίεις δοτ. πληθ. χαρίεσι, φωνήεις, δ. πλ. φωνήεσι.

61. Τὰ εἰς -ν (αν, ιν, υν) λήγοντα θέματα πρὸς σχηματισμὸν τῆς ἑνικ. ὀνομ. προσλαμβάνουσι -ς καὶ μετὰ τὴν ἀποβολὴν τοῦ ν ἐκτείνουσι τὸ πρὸ τούτου (τοῦ ν) φωνῆεν· μέλανος μέλας· οὕτως ἑνὸς εἷς, κτενὸς κτείς, ῥινὸς ῥίς. Τὰ ἀκτίς, δελφίς, Φόρκυς, Σαλαμίς, παιὰν ἔχουσιν ἀρχῆθεν τὸ πρὸ τοῦ ν φωνῆεν μακρόν, δι' ὃ ἀκτῖνος, δελφῖνος κλ.

62. Τὰ εἰς ν καὶ ρ λήγοντα θέματα καὶ πρὸ τούτων ἔχοντα βραχὺ φωνῆεν ἐκτείνουσι τοῦτο ἐν τῇ ἑνικ. ὀνομ. (τὰ ἀρσ. καὶ θηλ.)· σώφρον-ος σώφρων, ἡγεμόν-ος ἡγεμών, ῥήτορ-ος ῥήτωρ.

63. Ἐκ τῶν εἰς ις γεν. ιδος ἔχουσι τὸ ι μακρὸν πολλά, συνηθέστερα δὲ εἶναι τὰ ἑξῆς·

| | | | | | |
|---|---|---|---|---|---|
| ἀψὶς | γεν. ἀψῖδος | | κρηπὶς | γεν | κρηπῖδος |
| κνημὶς | » | κνημῖδος | κηλὶς | » | κηλῖδος |
| λεπὶς | » | λεπῖδος | σφραγὶς | » | σφραγῖδος |

64. Τὰ εἰς ιτις ἔχουσι τὸ ι τῆς παραληγούσης μακρόν· νεφρῖτις, στεφανῖτις, γυναικωνῖτις, ἀνδρωνῖτις, κλ.

65. Τῶν εἰς ων, γεν. ωνος φυλάττουσι τὸ ω εἰς πάσας τὰς πτώσεις καὶ τοὺς ἀριθμοὺς πλεῖστα· ὡς Πλάτων, Σόλων, κλ. Βοηδρομιών, Ἐλαφηβολιών, κλ., ἀμπελών, ἐλαιών, ἀνθών, δαφνών,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ροδών, κλ.,—γάστρων, χείλων, κλ. ἔτι καὶ ἀγών, αἰών, κλών, πώγων, καὶ ἄ.π.

Τρέπουσι δὲ τὸ ω εἰς ο (δηλ. ων, γεν. ονος) τά : Ἀγαμέμνων, Ἰστίων, Ἀρίων,—χιών, εἰκών, γείτων, χελιδών· τὰ ρηματικὰ μνήμων γεν. ονος, ἡγεμών, γ. ἡγεμόνος, δαίμων, γ. ονος (εὐδαίμων, κακοδαίμων), μείζων γ. μείζονος, καλλίων κλ. τὰ ἐπίθετα καὶ συγκριτικὰ σώφρων γ. -ονος, καλλίων, γ. -ίονος.

## Β'. Φωνηεντόληκτον θέμα.

66. α'. Θέματα εἰς -ι καὶ -υ. Ταῦτα λήγουσιν ἐν τῇ ὀνομ. εἰς -ις καὶ -υς ἀρσ. καὶ θηλ., -ι καὶ -υ οὐδέτερα.

**Ἑνικὸς**

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Ὀνομ. | ἡ πόλις | τὸ ἄστυ | ὁ βότρυς | ἡ σῦς | ἡδύς | ἡδὺ |
| γεν. | πόλεως | ἄστεως,-ος | βότρυος | συὸς | ἡδέος | |
| δοτ. | πόλει | ἄστει | βότρυϊ | συῒ | ἡδεῖ | |
| αἰτ. | πόλιν | ἄστυ | βότρυν | σῦν | ἡδὺν | ἡδὺ |
| κλ. | πόλι | ἄστυ | βότρυ | (σῦ) | ἡδὺ | |

**Δυϊκὸς**

| | | | | | |
|---|---|---|---|---|---|
| Ὀν. καὶ αἰτ. | πόλει (ε-ε) | ἄστει (ε-ε) | βότρυε | σύε | ἡδεῖ |
| γεν. καὶ δοτ. | πολέοιν | ἀστέοιν | βοτρύοιν | σύοιν | ἡδέοιν |

**Πληθυντικὸς**

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Ὀνομ. | αἱ πόλεις(ε-ες) | ἄστη(εα) | οἱ βότρυες | αἱ σύες | ἡδεῖς(ε-ες) | ἡδέα [1] |
| γεν. | πόλεων | ἄστεων | βοτρύων | συῶν | ἡδέων | |
| δοτ. | πόλεσι | ἄστεσι | βότρυσι | συσὶ | ἡδέσι | |
| αἰτ. | πόλεις | ἄστη | βότρυς | σῦς | ἡδεῖς | ἡδέα |
| κλ. | πόλεις | ἄστη | βότρυες | σύες | ἡδεῖς | ἡδέα |

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** Ἰχθύες, στάχυες, ἐγχέλεις, δρυός, μυσί(ν), ἀχλύϊ, τὴν ἰλὺν τοῦ οἴνου, τοὺς ἰχθῦς, τοῦ ἄστεως, ὀξὺν πέλεκυν, ταχέα πλοῖα, βραδεῖς ἵπποι, ποιήσεως.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Ἡ μὲν φύσις ἄνευ μαθήσεως τυφλόν, ἡ δὲ μάθησις δίχα φύσεως ἐλλιπές, ἡ δὲ ἄσκησις χω-

1 Τὸ ἥμισυς, τὰ ἡμίση ἀντὶ ἡμίσεα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρὶς ἀμφοῖν ἀτελές. 2 Μήτε ἐν ἰχθύσι φωνὴν μήτε ἐν ἀπαιδεύτοις ἀνθρώποις σοφίαν ἐπιζήτει. 3. Μῦς ἀρουραῖος ἀστικῷ γίνεται φίλος μυΐ. 4. Χειμῶνος παχέα ἱμάτια φέρομεν. 5. Ἡ πεῖνα πάντα τὰ βρώματα γλυκέα καὶ ἡδέα ποιεῖ. 6. Τοῖς γέρουσιν οἱ μὲν πόδες βραδεῖς εἰσιν, ὁ δὲ νοῦς ταχύς. 7. Μάντι κακῶν, σιγὴν ἔχε.

67. Κατὰ τὸ πόλις γεν. -εως κλίνονται πλεῖστα· κόνις, ὄφις, πίστις, ὕβρις, καὶ τὰ εἰς -σις· ποίησις, πρᾶξις, πρᾶσις, κρᾶσις, θλῖψις, μῖξις, ψῦξις κ. ἄ. π., ἔτι καὶ ὁ πῆχυς, πέλεκυς.

Κατὰ τὸ ἄστυ καὶ τὰ σίναπι, πέπερι, κιννάβαρι.

Κατὰ τὸ βότρυς καὶ σῦς τὰ ἰχθύς, πίτυς, δρῦς, μῦς, νᾶπυ.

Κατὰ τὸ ἡδύς, τὰ γλυκύς, βαθύς, ὀξύς, ἀμβλύς, πλατύς κλ.

68. β΄. Θέματα εἰς ευ (εF), ου, αυ (αF), ω, ο.

Ἑνικός

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Ὀνομ. | ἱερεὺς | βοῦς | γραῦς | ἥρως | αἰδὼς | πειθὼ |
| γεν. | ἱερέως | βοὸς | γραὸς | ἥρωος | αἰδοῦς(όος) | πειθοῦς(-όος) |
| δοτ. | ἱερεῖ | βοΐ | γραΐ | ἥρωϊ | αἰδοῖ(-ό-ι) | πειθοῖ(όϊ) |
| αἰτ. | ἱερέα | βοῦν | γραῦν | ἥρωα | αἰδῶ(-ό-α) | πειθὼ(ό-α) |
| κλ. | ἱερεῦ | βοῦ | γραῦ | ἥρως | αἰδοῖ | πειθοῖ |

Δυϊκός

| | | | | | |
|---|---|---|---|---|---|
| Ὀν καὶ αἰτ. | ἱερέε | βόε | γρᾶε | ἥρωε | τὰ εἰς ω στεροῦνται |
| γεν. καὶ δοτ. | ἱερέοιν | βοοῖν | γραοῖν | ἡρώοιν | δυϊκοῦ καὶ πληθυντικοῦ. |

Πληθυντικός

| | | | | |
|---|---|---|---|---|
| Ὀν. | ἱερεῖς(έ-ες) | βόες | γρᾶες | ἥρωες |
| γεν. | ἱερέων | βοῶν | γραῶν | ἡρώων |
| δοτ. | ἱερεῦσι(ν) | βουσὶ(ν) | γραυσὶ(ν) | ἥρωσι(ν) |
| αἰτ. | ἱερέας | βόας | γραῦς | ἥρωας |
| κλ. | ἱερεῖς | βόες | γρᾶες | ἥρωες |

Παρατηρήσεις·

69. Τὰ εἰς ευς, τὰ πρὸ τούτου φωνῆεν ἔχοντα, συναιροῦσι τὸ εω εἰς ῶ, τὸ εα εἰς ᾶ· Πειραι-έως-ῶς, Πειραι-έα-ᾶ, Εὐβοέας-οᾶς. Ἀλλὰ τινὰ καὶ ἀσυναίρετα· Πλαταιέων, Δωριέας.

70. Τὰ εἰς ω ὀξύνονται εἰς τὴν ενικ. αἰτ., ἂν καὶ συναιροῦνται, καὶ ἔχουσι τὴν ἑνικ. κλητ. εἰς οῖ μακρὸν (§ 8, ς΄. 5).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

71. Ἡ κλητικὴ τοῦ ἑνικοῦ τῶν εἰς ις, ευς, αυς, ους ἀποβάλλει τὸ -ς.

Σημ. Κατὰ τὸ πειθὼ κλίνονται καὶ τὰ Λητώ, Κλειώ, Ἐρατώ, Σαπφώ, ἠχώ.

Κατὰ τὸ ἥρως κλίνονται καὶ τὰ θώς, Τρώς, πάτρως, μήτρως κλπ.

Κατὰ τὸ βοῦς, μόνον τὸ χοῦς, ὃ ἀπαντᾷ καὶ χοεύς.

Κατὰ τὸ γραῦς τὸ ἡ ναῦς, (ὃ πρβ. § 83, 3, 4).

Κατὰ τὸ ἱερεὺς πλεῖστα· βασιλεύς, βαφεύς, τομεύς, Ὀδυσσεύς, Ἀχιλλεύς κλ.

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** Τοὺς βαφέας, ἱππέως, τοῖς γραφεῦσι, τῷ βασιλεῖ, ὦ τροφεῖς, τῷ συγγραφεῖ, γρᾶες, Καλυψοῦς, ἠχοῖ, τὴν Διδώ, ὦ Λητοῖ, τῆς φειδοῦς.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Οἱ γραφεῖς ἀπεικάζουσι τὰ καλὰ τῶν ζῴων. 2. Τοὺς ἥρωας ἐνόμιζον οἱ Ἕλληνες θεῶν παῖδας εἶναι. 3. Πειθοῖ οὐ βίᾳ δεῖ ἄρχειν. 4. Ὦ βασιλεῦ, τοῖς βασιλεῦσιν ἡ δικαιοσύνη δόξαν καὶ τιμὴν φέρει. 5. Ὦ Σαπφοῖ, τὰς σὰς ᾠδὰς θαυμάζομεν.

**Γ΄. Σιγμόληκτον θέμα.**

72. Θέμα εἰς -ος καὶ -ας ἔχουσιν οὐσιαστικὰ γένους οὐδετέρου. Τὰ ἔχοντα θέμα εἰς -ος ἔχουσι καὶ ἄλλο εἰς -ες καὶ τὸ μὲν εἰς ος ἔχουσιν εἰς τὴν ὀν., αἰτ. καὶ κλητ., τὸ δὲ εἰς -ες εἰς τὰς ἄλλας πτώσεις.

β΄. Θέμα εἰς -ες ἔχουσι τὰ δικατάληκτα ἐπίθετα (εἰς -ης -ες), καὶ εἰς τὴν ὀνομ. τοῦ ἑνικ. (ἀρσ. καὶ θηλ.) ἐκτείνεται τὸ ε εἰς η, ὡς εἰς τὰ ἔχοντα ρ καὶ ν (§ 62).

Σημ. α΄. Τὸ σ μεταξὺ δύο φωνηέντων ἐκπίπτει, ἐπίσης καὶ ἐν τῇ δοτ. τοῦ πληθ. πρὸ τοῦ -σ (τοῦ -σι).

Σημ. β΄. Μετὰ τὴν ἔκπτωσιν τοῦ σ τὰ συμπίπτοντα φωνήεντα συναιροῦνται.

| | | |
|---|---|---|
| τὸ εο εἰς ου | τὸ ε-ω εἰς ω | τὸ α-ο καὶ α-ω εἰς ω |
| » ε-ι καὶ ε-ε » ει | » ε-οι » οι | » α-ι » ᾳ |
| » εα » η | | » α-α καὶ α-ε » α |
| | | » α-οι » ῳ |

Σημ. γ΄. Ἡ αἰτ. πληθ. ἀρσ. καὶ θηλ. εἶναι ὁμοία τῇ ὀνομ. εἰς εες

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἑνικός

| | | | | |
|---|---|---|---|---|
| Ὀν. | τὸ γένος | τὸ κρέας | ὁ, ἡ σαφὴς | τὸ σαφὲς |
| γεν. | (γένεσος) γένους | (κρέασος) κρέως | (σαφέσος) σαφοῦς | |
| δοτ. | (γένεσι) γένει | (κρέασι) κρέᾳ | (σαφέσι) σαφεῖ | |
| αἰτ. | (γένος) | κρέας | (σαφέσα) σαφῆ, | σαφὲς |
| κλητ. | γένος | κρέας | σαφὴς | σαφὲς |

Δυϊκός

| | | | |
|---|---|---|---|
| Ὀν. καὶ αἰτ. | (γένεσε) | γένει | — |
| γεν. καὶ δοτ. | (γενέσοιν) | γένοιν | — |

Πληθυντικός

| | | | |
|---|---|---|---|
| Ὀν. | (γένεσα) γένη | (κρέασα) κρέᾱ | (σαφέσες) σαφεῖς (σαφέσα) σαφῆ |
| γεν. | (γενέσων) γενῶν | (κρεάσων) κρεῶν | (σαφέσων) σαφῶν |
| δοτ. | (γένεσ-σι) γένεσι | (κρέασ-σι) κρέασι | (σαφέσ-σι) σαφέσι |
| αἰτ. | (γένεσα) γένη | (κρέασα) κρέᾱ | (σαφέσας σαφεῖς |
| κλ. | (γένεσα) γένη | (κρέασα) κρέᾱ | (σαφέσες) σαφεῖς (σαφέσα) σαφῆ |

**Παρατηρήσεις.**

73. Τῶν εἰς **-ος** οὐδετέρων ἔχουσι τὸ δίχρονον τῆς παραληγούσης μακρὸν τὰ ἑξῆς·

Μῖσος, πνῖγος, ῥῖγος, στῖφος, κῦρος, κῦδος, φῦκος, σκῦτος, ψῦχος.

74. Τῶν εἰς **-ος** ἔχουσι τὴν γεν. πληθ. εἰς **-έων** τὰ ἀνθέων, ὀρέων, κερδέων.

75. Τὰ παροξύτονα σύνθετα ἐπίθετα εἰς ης καὶ τὰ κύρια[1] ἐν τῇ ἑνικῇ κλητ. καὶ τῷ οὐδετέρῳ ἀναβιβάζουσι τὸν τόνον, συνήθης, αὐτάρκης, τριήρης (ναῦς), Σωκράτης, Δημοσθένης· π.χ. σύνηθες, αὔταρκες, ὦ Σώκρατες, ὦ Δημόσθενες. Ἡ δὲ γεν. πληθ. συνήθων, τριήρων, αὐτάρκων, οὕτω καὶ πλήρων.

Ἐξαιροῦνται τὰ εἰς -ώδης, -ώλης, -ήρης· εὐώδης, ὦ εὐῶδες, τὸ εὐῶδες· ἐξώλης ὦ ἐξῶλες, τὸ ἐξῶλες· ποδήρης ὦ ποδῆρες, τὸ ποδῆρες.

76. Τὰ κύρια εἰς -κλῆς ἐκ τοῦ κλέης (ἐκ θέματος κλεεσ-, κλέος) συναιροῦνται δὶς ἐν τῇ δοτ. (Ἡρακλέσ-ι Ἡρακλέεϊ) Ἡρακλεῖ.

77. Κατὰ τὸ κρέας κλίνεται καὶ τὸ γῆρας (ἑνικῶς μόνον) καὶ τὸ γέρας (πληθ. ὀν. καὶ αἰτ. γέρᾱ).

1 Τὰ εἰς **γένης, μένης, σθένης, κράτης, μήδης, νείκης, τέλης,** (κλέης) **κλῆς.**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σημ. Τὸ κέρας καὶ τέρας ἐν τῇ γεν. καὶ δοτ. τοῦ ἑνικ. καὶ πληθ. ἔχουσι καὶ θέμα εἰς -ατ· κέρατος, κέρατι κλ.

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** Τὰ βέλη τῶν πολεμίων, τῷ κράτει τοῦ κύρους, τὰ πάθη τοῖς ἔθνεσι, τὸ θάλπος τοῦ θέρους, κρέως, κρέα, γήρως, ἤθεσι χρηστοῖς—Δημοσθένους, Διογένει, ὦ Θεμιστόκλεις, τῷ Ἡρακλεῖ, τὸν Σοφοκλῆ. Εὐγενεῖς πολῖται, εὐγενῆ παιδία, ἀληθὲς κόσμημα, τὸ δίετες φυτόν, ἀληθεῖς μέριμναι,' φιλομαθεῖς μαθηταί, τῇ ἀφελεῖ διαίτῃ, τὰ ἀσθενῆ σώματα.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Τῆς ἀρετῆς καὶ εὐεργεσίας ἡ τιμὴ γέρας. 2. Ἡρακλῆς λεοντῆν περιεβάλετο. 3. Ξενοκράτης τῆς ἡμέρας ὥραν μίαν ἀνέμενε σιωπῇ. 4. Ἐκ τοῦ σκότους τὸ φῶς, ἐκ τοῦ φωτὸς σκότος. 5. Νεανίας θέρους ὥρᾳ ἐμισθώσατο ὄνον Μέγαράδε. 6. Ἔνεστιν ἐν τῷ Σκιλλοῦντι χωρίῳ καὶ λειμὼν καὶ ἄλση καὶ ὄρη δένδρων μεστά, ἱκανά, καὶ σῦς καὶ αἶγας καὶ οἶς καὶ βοῦς τρέφειν. 7. Τοὺς ὑγιεῖς ὄντας τῆς κεφαλῆς θέρμαι ἐξαίφνης ἐλάμβανον. 8. Αὐτάρκης κόσμος ἡ τοῦ ἀνδρὸς ἀρετή. 9. Τὰ κέρα ἐστί, τῶν βοῶν ὅπλα. 10. Ὦ Ἡράκλεις, ὡς εὐάλωτόν ἐστι τὸ φρούριον. 11. Μίλων ὁ ἀθλητὴς ἐδίδρωσκε μνᾶς κρεῶν εἴκοσιν.

## Διαφοραὶ καὶ ἀνωμαλίαι Γ' κλίσεως.

78. Α'. Θέμα εἰς -ον καὶ ων, ὀνομ. -ων.

1. Τὰ συγκριτικὰ εἰς **-ων** (ίων), οὐδ. **-ον** ἔχουσιν ἐν τῇ ὀνομ. τοῦ ἑνικ. καὶ ἐν τῇ ὀν. καὶ αἰτ. τοῦ πληθ. ἐνίοτε καὶ συνῃρημένον τύπον.

| Ἑνικὸς | Πληθυντικὸς |
|---|---|
| Ὀν. βελτίων, οὐδ. βέλτιον | βελτίον-ες καὶ βελτίους, οὐδ. βελτίονα [καὶ βελτίω |
| γεν. βελτίον-ος | βελτινόν-ων |
| δοτ. βελτίον-ι | βελτίοσι |
| αἰτ. βελτίον-α » βέλτιον καὶ βελτίω | βελτίον-ας καὶ βελτίους, οὐδ. βελτίονα [καὶ βελτίω. |

2. Ὀν. Ποσειδῶν, αἰτ. Ποσειδῶνα καὶ Ποσειδῶ, κλ. Πόσειδον,
» Ἀπόλλων, » Ἀπόλλωνα καὶ Ἀπόλλω, » Ἄπολλον.

Σημ. Σπανίως ἀπαντῶσι συνῃρημένως τὰ εἰκὼν (γ. εἰκόνος καὶ εἰκοῦς, αἰτ. εἰκόνα καὶ εἰκώ, αἰτ. πλ. εἰκόνας καὶ εἰκοῦς), ἀηδών, χελιδών. Τὸ κυκεὼν ἔχει αἰτ. ἑνικ. κυκεῶνα καὶ κυκεῶ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

79. Β΄. Θέμα είς ν καὶ ρ·

1. Ὁ κύων, κλ. κύον, γεν. κυνός, δοτ. κυνί, αἰτ. κύνα· πλ. ὀν. κύνες, κτλ.

2. Ὁ μάρτυς, δοτ. πληθ. μάρτυσι, καὶ ἐκ θέμ. μάρτυρ, γεν. μάρτυρος, αἰτ. μάρτυρα, ἐνίοτε καὶ μάρτυν.

3. Ἡ χείρ, γεν. χειρὸς κλ., ἡ δὲ γεν. καὶ δοτ. τοῦ δυϊκ. καὶ δοτ. πλ. ἐκ θέμ. χερ- χεροῖν, χερσί (ν).

80. Γ΄. Θέμα εἰς κ·

1. Ἡ Πνύξ, γεν. Πυκνός, δ. Πυκνί, αἰτ. Πύκνα (κ. μετάθεσις).

2. Ἡ γυνή, γεν. γυναικός, κλ., κλητ. ἑν. γύναι (ἐκ τοῦ θ. γυναικ.) κατὰ § 2, Β΄ σημ. α΄. Τονίζεται κατὰ τὰ μονοσύλλαβα § 57, β΄.

81. Δ΄. Θέμα ὀδοντόφωνον·

1. Ἡ ὄρνις (θ. ὀρνιθ-), ἑν. αἰτ. ὄρνιθα καὶ ὄρνιν, πληθ. ὀν., αἰτ. καὶ γεν. ἐξ ἄλλου τύπου· ὄρνεις, ὄρνεων.

2. Ἡ κλεὶς (θ. κλειδ-), ἑνικ. αἰτ. κλεῖν καὶ κλεῖδα, πλ. αἰτ. κλεῖς καὶ κλεῖδας.

3. Τὸ οὖς (θ. ὠτ-), ἑνικ. γεν. ὠτός, γεν. πλ. ὤτων, τονίζεται κατ' ἐξαίρεσιν § 57, β΄.

82. Ε΄. Μοναδικὰ ἀνώμαλα.

1. Ἄρης (θ. Ἀρεα), γ. Ἄρεως καὶ -εος, δ. Ἄρει, αἰτ. Ἄρη καὶ Ἄρην, κλ. Ἄρες.

2. (Ὁ ἀρήν), θ. ἀρν., γ. ἀρνός, δ. ἀρνί· δοτ. πληθ. ἀρνάσι, κλ. ὦ ἀμνέ.

3. Τὸ γόνυ, γ. γόνατ-ος κλ. ἐκ θ. γόνατ-.

4. Τὸ δόρυ, γ. δόρατ-ος κλ. ἐκ θ. δορατ-.

5. Ζεύς, γ. Διός, δ. Διί, αἰτ. Δία, κλ. Ζεῦ (ἐκ θ. ΔιF-, Διεύς, τὸ δ εἰς ζ).

6. Ἡ θέμις (γ. θέμιτος), ἀττικῶς μόνον ὀν. θέμις, καὶ αἰτ. θέμιν.

### Ἀνωμαλίαι πασῶν τῶν κλίσεων.

73. Α΄. Πλεονάζοντα. Ταῦτα ἀπαντῶσιν εἰς πάντας ἢ εἴς τινας τύπους ὑπὸ διπλοῦν γένος ἢ κλίσιν.

1. Ἑτερογενῆ.

Ὁ φθόγγος καὶ ἡ φθογγή.

Ὁ νῶτος καὶ τὸ νῶτον, πλ. τὰ νῶτα μόνον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ ζυγὸς καὶ τὸ ζυγόν, πλ. τὰ ζυγὰ μόνον.

Ὁ σῖτος, πλ. τὰ σῖτα (καὶ τὰ σιτία).

Τὸ στάδιον (=185 μέτ.), πλ. τὰ στάδια καὶ οἱ στάδιοι.

Ὁ γυμνήτης,-ου καὶ γυμνής, -ῆτος.

2. Ἑτερόκλιτα.

| | |
|---|---|
| Ἡ ἀμυγδάλη καὶ τὸ ἀμύγδαλον | Ἡ ὀροφὴ καὶ ὁ ὄροφος |
| Ἡ δίψα καὶ τὸ δίψος | Ἡ σκάφη καὶ τὸ σκάφος. |

Ἡ πρόχους (πρόχοος), γ. πρόχου, καὶ δοτ. πλ. πρόχουσι (κατὰ τὸ βοῦς). Ἡ δρεπάνη καὶ τὸ δρέπανον.

Οἰδίπους, γ. (Οἰδίποδος), Οἰδίπου, αἰτ. Οἰδίποδα καὶ Οἰδίπουν, κλ. Οἰδίπου.

Θαλῆς, γ. Θάλεω καὶ Θάλητος, δ. Θαλῇ καὶ Θάλητι, αἰτ. Θαλῆν καὶ Θάλητα.

Σημ. Τὰ σύνθετα κύρια ὀνόματα τῆς Γ′ κλίσ. εἰς -γένης,-κράτης, -μένης, -σθένης, -φάνης λήγουσιν ἐν τῇ ἑνικ. αἰτ. - εἰς -η καὶ -ην, Σωκράτης, αἰτ. Σωκράτη καὶ Σωκράτην· ἰδὲ καὶ § 75.

3. Μεταπλαστὰ λέγονται τὰ σχηματίζοντα πτώσεις τινὰς ἐκ θέματος ἀχρήστου ἐν τῇ ἑν. ὀνομ.

1. Τὸ δάκρυον ὁμαλῶς, δοτ. πλ. δάκρυσι (ν).

2. Τὸ δένδρον ὁμαλῶς, δοτ. πλ. δένδρεσι (ν) (ὡς ἐξ ὀνομ. τὸ δένδρος).

3. Ὁ κοινωνός, -οῦ κλ., πλ. ὀν. κοινῶνες, αἰτ. κοινῶνας (ὡς ἐκ τοῦ κοινών).

4. Ἡ ναῦς, γ. νεώς, δ. νηΐ, αἰτ. ναῦν, κλ. ναῦ· δυϊκ. νῆε, νεοῖν. πλ. ὀν. νῆες, γεν. νεῶν, δ. ναυσὶ, αἰτ. ναῦς, κλ. νῆες.

5. Ὁ ὄνειρος,-ου κλ. καὶ ὀνείρατος,-ι,-ων,-ασι.

6. Τὸ πῦρ (ἐκ τοῦ πύϊρ), γ. πυρός, κλ. ὁμαλῶς, πληθ. τὰ πυρὰ τῶν πυρῶν κλ. κατὰ τὴν Β′ κλίσ.

7. Τὸ φρέαρ, γ. φρέατος κλ. (ἐκ θ. φρεατ-), καὶ φρητός, φρητί, φρητῶν.

8. Ὁ χοῦς κατὰ τὸ βοῦς· καὶ ἐν τῇ σημασίᾳ μέτρου (ὡς ἐκ τοῦ χοεύς).

10. Ὁ υἱὸς κλίνεται ὁμαλῶς, ἔχει καὶ τύπους ἐκ θ. υἱε- (ἐξ ἀχρήστου ἑνικ. ὀνομ. υἱύς).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

| | Ἑνικὸς | | Πληθυντικὸς | | |
|---|---|---|---|---|---|
| Ὀνομ. | υἱὸς | (ὡς ἐκ τοῦ υἱὺς) | υἱοὶ | υἱεῖς | (υἱέες) |
| γεν. | υἱοῦ | υἱέως | υἱῶν | υἱέων | |
| δοτ. | υἱῷ | υἱεῖ | υἱοῖς | υἱέσι | |
| αἰτ. | υἱὸν | υἱέα | υἱοὺς | υἱεῖς, | υἱέας |
| κλητ. | υἱὲ | — | υἱοὶ | υἱεῖς | |

**Δυϊκὸς**

Ὀν. καὶ αἰτ. υἱέε καὶ υἱε, γεν. καὶ δοτ. υἱέοιν.

84. Ἐλλιπῆ.

1. Ἐλλιπῆ κατ' ἀριθμόν· ἑνικὰ μόνον· Ὁ αἰθὴρ, ὁ ἀὴρ, ἡ γῆ καὶ τὰ κύρια· Ἥρα, Κόρινθος, Ἑλλὰς κλ.

Πληθυντικὰ μόνον· Τὰ ἔγκατα, ἐτησίαι, δυσμαὶ καὶ τὰ ἑορτῶν ὀνόματα· τὰ Ὀλύμπια, τὰ Παναθήναια κλ. καὶ τὰ κύρια· Θῆβαι Ἀθῆναι κλπ.

2. Ἐλλιπῆ κατὰ πτῶσιν· ὄναρ, ὕπαρ, θέμις (κατ' ὀνομ. καὶ αἰτ. ἑνικ.)· ὑπὸ μάλης (κατὰ γεν.), ὄφελος (κατ' ὀνομ. ἑνικ.), ὦ τᾶν, ὦ μέλε (κατὰ κλητ. ἑνικ.).

Ὁ πρέσβυς εἰς δύο σημασίας.

α' Ὁ πρεσβύτης (γέρων) ἐν τῇ ἐν. αἰτ. πρέσβυν, κλητ. πρέσβυ.

β'. Ὁ πρεσβευτὴς (ἀπεσταλμένος), πληθ. πρέσβεις, πρέσβεων, πρέσβεσι.

85. Ἀνώμαλα κατὰ κλίσιν.

1. Ἄκλιτα εἶναι τὰ ὀνόματα τῶν γραμμάτων τοῦ ἀλφαβήτου, τὰ ἀριθμητικὰ ἀπὸ τοῦ 5—100, τὸ ὀνοματικὸν ἀπαρέμφατον καί τινα ξενικὰ ὀνόματα· Τὸ ἄλφα, γ. τοῦ ἄλφα—τὸ λύειν, γ. τοῦ λύειν κλ.— ὁ Ἀβραάμ, τοῦ Ἀβραὰμ κλ.,— τὸ Πάσχα γεν. τοῦ πάσχα κλ., ἔτι τὸ θέμις ἐν τῇ φράσει· θέμις εἶναι, καὶ τὸ χρεών.

2. Ἰδιόκλιτα. Ταῦτα κλίνονται μόνον ἐν τῷ ἑνικῷ καὶ περισπῶνται, λήγουσι δὲ εἰς, ῆς, ῦς, ῶς, οῦς καὶ ᾶς.

Ὁ Φιλῆς, -ῆ, ῇ, -ῆν. -ῆ. Ὁ Μανασσῆς, ὁ Μωσῆς.

Ὁ Διονῦς,-ῦ,-ῦν-ῦ. Ὁ Κλαυσῦς, ὁ Καμμῦς.

Ὁ Ταμῶς, -ῶ,-ῷ,-ῶν,-ῶ. Ὁ Νεκῶς, ὁ Ἰνάρως.

Ὁ Γλοῦς, -οῦ,-οῦν,-οῦ. Ὁ Ἰησοῦς, ὁ Θαμοῦς.

Ὁ Θευδᾶς, -ᾶ,-ᾷ,-ᾶν,-ᾶ. Ὁ Μηνᾶς, ὁ Γονατᾶς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** Κυνί, χερσί, Ζεῦ πάτερ, ὦτα, νηὶ ταχείᾳ, μάρτυρας, υἱεῖ, Δία, κυσί, Ἄπολλον, γυναῖκες.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Διὰ τοῦτο δύο ὦτα ἔχομεν, στόμα δ' ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττονα δὲ λέγωμεν. 2. Ἡρακλῆς υἱὸς ἦν Διὸς καὶ Ἀλκμήνης. 3. Ὦ γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. 4. Σταγόνες ὕδατος πέτρας κοιλαίνουσι. 5. Οἱ ποιμένες χρῶνται τοῖς κυσὶ φύλαξι. 6. Τοῖς μὲν βουσὶν ἡ ἰσχὺς ἐν κέρασι, τοῖς δὲ κυσὶν ἐν ὀδοῦσι, τοῖς δὲ γυψὶν ἐν ὄνυξι, τοῖς δὲ ἀνθρώποις ἐν χερσί. 7. Τὸν οὐρανὸν οἱ ποιηταὶ αἰθέρα ὀνομάζουσιν. 8. Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τὰς Ἀπόλλωνος βοῦς ἔκλεψεν. 9. Ὦ Ζεῦ καὶ Ἀθηνᾶ καὶ Ἄπολλον, δότε μοι ἀρετὴν ψυχῆς καὶ ζωὴν ἄμεμπτον καὶ εὔελπιν θάνατον. 10. Ἡ τῶν πατέρων ἀρετὴ τιμή ἐστι τοῖς υἱοῖς. 11. Ὀδυσσεὺς ἐπὶ ἀλλοτρίας νεὼς ἐφέρετο εἰς τὴν πατρίδα. 12. Οἱ Διόσκουροι σωτῆρές εἰσι καὶ ἡγεμόνες τῶν νεῶν. 13. Τὸν φίλον σῷζε καὶ χειρὶ καὶ λόγῳ.

## Ἐπίθετα.

86. Α΄. Διαίρεσις καὶ κλίσις.

1. Τὰ ἐπίθετα διαιροῦνται εἰς τρικατάληκτα, δικατάληκτα καὶ μονοκατάληκτα.

2. Αἱ μετοχαὶ εἶναι τρικατάληκτα ἐπίθετα.

3. Τὰ ἐπίθετα ὡς καὶ αἱ μετοχαὶ ἔχουσι τρία γένη.

4. Τῶν τρικαταλήκτων ἐπιθέτων τὸ θηλυκὸν κλίνεται κατὰ τὴν Α΄ κλίσιν, τὸ δὲ ἀρσ. καὶ οὐδ. ἄλλων μὲν κατὰ τὴν Β΄ κλίσιν (§ 33), ἄλλων δὲ κατὰ τὴν Γ΄ κλίσιν (§ 87).

6. Τῶν δικαταλήκτων ἐπιθέτων τὸ μὲν ἀρσ. καὶ θηλ. ἔχει μίαν κατάληξιν, τὸ δὲ οὐδ. ἄλλην· κλίνονται δὲ ταῦτα ἄλλα μὲν κατὰ τὴν Β΄ κλίσιν (§ 36, Β΄), ἄλλα δὲ κατὰ τὴν Γ΄ (§ 87).

6. Τῶν μονοκαταλήκτων ἐπιθέτων τὸ ἀρσ. καὶ θηλ. ἔχει μίαν κατάληξιν, τὸ δὲ οὐδ. ἐλλείπει. Κλίνονται δὲ ταῦτα κατὰ τὴν Γ΄ κλίσιν.

87. Τὰ ἐπίθετα τῆς Γ΄ κλίσεως κλίνονται κατὰ τὰ οὐσιαστικὰ ταύτης, οὕτω·

1. Θέμα εἰς -ν ἔχουσι·

α΄. Τὰ τρικατάληκτα εἰς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἑνικὸς

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Ὀν. | -ας, | -αινα, | -αν· | μέλας | μέλαινα | μέλαν |
| » | -ην, | -εινα, | -εν· | τέρην | τέρεινα | τέρεν. |

β'. Τὰ δικατάληκτα εἰς

Ἑνικὸς

Ὀν. -ων (ἀρσ. καὶ θηλ.), -ον οὐδ.
σώφρων, σῶφρον -εὐδαίμων, εὔδαιμον

Ἑνικὸς

Ὀν. -ην (ἀρσ. καὶ θηλ.), -εν (οὐδ.)· ἄρρην, ἄρρεν

Σημ. Περὶ τοῦ τόνου τῶν εἰς ων πρβ. § 58. 3.

2. Θέμα εἰς -ρ ἔχουσι τὰ

Εἰς ωρ, ορ· ἀπάτωρ ἄπατορ.

Τὰ μονοκατάληκτα μόνον τὰ σύνθετα ἐκ τοῦ χείρ, μακρόχειρ, μονόχειρ, εὔχειρ.

3. Θέμα χειλόφωνον καὶ οὐρανισκόφωνον

Αἰγίλιψ, -πος, ἅρπαξ, -αγος, μῶνυξ, -υχος.

4. Θέμα ὀδοντόφωνον·

1. Πένης, πένητ-ος, φυγάς, φυγάδ-ος, ἄχαρις, -ρι, γ. ἀχάριτος, ἀγνώς, γ. -ἀγνῶτος.

Αἱ μετοχαὶ τοῦ παθ. παρακ. εἰς οτ, ὀνομ. ἑνικ. -ως, -υῖα, ος· λελυκώς, λελυκυῖα, λελυκός.

2. Θέμα εἰς ντ, μάλιστα μετοχαί·

α'. Θέμα εἰς αντ·

Ἑνικ. Ὀν. -ᾱς,-ᾱσα-ᾰν, λύσας, λύσασα, λῦσαν, πᾶς, πᾶσα, πᾶν. Ἡ γεν. πλ. πάντων § 57, α'.

6. Θέμα εἰς εντ ἔχουσι.

α'. ἐπίθετα, ἑν. ὀν. ἀρσ. -εις (ἀντὶ -εντ-ς), θηλ. εσσα, οὐδ. -εν, χαρίεις, χαρίεσσα, χαρίεν (δοτ. πληθ. χαρίεσι ἀντὶ χαρίετ-σι).

Τὰ ἐπίθετα εἰς -ήεις καὶ -όεις συναιροῦνται, (τιμήεις-ήεσσα-ῆεν) τιμῆς, τιμῆσσα, τιμῆν, (μελιτόεις-όεσσα,όεν), μελιτοῦς, μελιτοῦσσα, μελι-τοῦν, γεν. μελιτοῦντος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σημ. Τὸ φωνήεις, φωνήεσσα, φωνῆεν δὲν συναιρεῖται.

2. Μετοχαί. ἑνικ. Ὀν. **-είς, -εῖσα, -έν·** λυθείς, λυθεῖσα, λυθὲν (δοτ. πληθ. λυθεῖ-σι ἀντὶ λυθέντ-σι).

γ΄. Θέμα εἰς -οντ.

Ὀν. **ων** (§ 51, σημ. β΄), **-ουσα, -ον·** λύων, λύουσα, λῦον·

» **ούς** (§ 51, σημ. α΄), **-οῦσα, -όν·** διδούς, διδοῦσα, διδόν.

δ΄. Θέμα εἰς υντ·

Ἑν. ὀν. **-ύς, -ῦσα, -ύν·** δύς, δῦσα, δύν, γεν. δύντ-ος κλπ.

Σημ. Αἱ μονοσύλλαβοι μετοχαὶ τονίζονται ἐπὶ τῆς ρίζης·

βάς, γεν. βάντος.

ὤν, γεν. ὄντος·

ε΄. Θέμα εἰς -σ· σαφής, σαφὲς (§ 72, β΄.)

ϛ΄. Θέμα εἰς -υ.

Ἑν. ὀν. -ύς, εῖα, ύ· ἡδύς, ἡδεῖα, (ἐκ θ. ἡδε-), ἡδύ·

Τὸ ἀρσ. κατὰ τὸ πῆχυς (§ 66), ἀλλὰ γεν. ἡδέος· πλ. οὐδ. ἡδέα.

Σημ. α΄. Τὰ σύνθετα ἐκ τοῦ πῆχυς εἶνε δικατάληκτα· δίπηχυς, δίπηχυ, πληθ. οὐδ. ὀν. διπήχη.

Σημ. β΄. Μονοκατάληκτον μόνον ἀρσ. κατὰ τὴν Α΄ κλίσιν εἶναι τὸ ἐθελοντής, γ. ἐθελοντοῦ.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Τοῖς Ἀθηναίοις γλυκὺ ἦν τὸ τῆς ἐλευθερίας κτῆμα. 2. Τῆς παιδείας αἱ μὲν ρίζαι πικραί, γλυκεῖς δὲ οἱ καρποί. 3. Πολλάκις τὸ ὠφέλιμον ἐναντίον ἐστὶ τῷ ἡδεῖ. 4. Ἀσφαλοῦς καὶ ἀληθοῦς φιλίας οἱ τύραννοι οὐκ ἄπειροί εἰσιν. 5 Ζεὺς τοὺς δυστυχεῖς καὶ τοὺς πένητας σῴζει. 6. Εὐήθων καὶ ἀμαθῶν ἀνθρώπων ἀδικίας δεῖ φέρειν μετὰ ἡσυχίας. 7. Κάτων φησί· πάντες οἱ ἄνθρωποι ἄρχουσι τῶν γυναικῶν, οἱ δὲ Ρωμαῖοι πάντων τῶν ἀνθρώπων, τῶν δὲ Ρωμαίων αἱ γυναῖκες. 8. Αἱ τῆς χαριέσσης ἥβης ἡμέραι βραχεῖαί εἰσιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 88. Ἀνώμαλα ἐπίθετα.

Ἑνικός

| | | | | | |
|---|---|---|---|---|---|
| μέγας[1] | μεγάλη | μέγα | πολὺς | πολλὴ | πολὺ |
| μεγάλου | μεγάλης | μεγάλου | πολλοῦ | πολλῆς | πολλοῦ |
| μεγάλῳ | μεγάλῃ | μεγάλῳ | πολλῷ | πολλῇ | πολλῷ |
| μέγαν | μεγάλην | μέγα | πολὺν | πολλὴν | πολὺ |

Πληθυντικός

| | | | | | |
|---|---|---|---|---|---|
| μεγάλοι | μεγάλαι | μεγάλα | πολλοὶ | πολλαὶ | πολλὰ |
| μεγάλων | μεγάλων | μεγάλων | πολλῶν | πολλῶν | πολλῶν |
| μεγάλοις | μεγάλαις | μεγάλοις | πολλοῖς | πολλαῖς | πολλοῖς |
| μεγάλους | μεγάλας | μεγάλα | πολλοὺς | πολλὰς | πολλὰ |

Σημ. Τὸ πολὺς γράφεται δι' ἑνὸς λ, ὅπου ἔχει υ, δηλ. ὀν. καὶ αἰτ. τοῦ ἑνικοῦ ἀρσ. καὶ οὐδ., πανταχοῦ δ' ἄλλου διὰ διπλοῦ λλ.

3. Πρᾶος, πραεῖα, πρᾶον καὶ πραΰ.[2]

| Ἑνικὸς | | | Πληθυντικὸς | | |
|---|---|---|---|---|---|
| πρᾶος | πραεῖα | πρᾶον | πρᾶοι | πραεῖαι | πρᾶα |
| πράου | πραείας | πράου | πραέων | πραειῶν | πραέων |
| πράῳ | πραείᾳ | πράῳ | πράοις | πραείαις | πραέσι |
| πρᾶον | πραεῖαν | πρᾶον | πράους | πραείας | πρᾶα |
| πρᾶε | πραεῖα | πρᾶον | πρᾶοι | πραεῖαι | πρᾶα |

4. Ὁ, ἡ σῶς, τὸ σῶν κλίνεται κατὰ τὴν Β' Ἀττικὴν κλίσιν καὶ ἔχει εὐχρήστους τοὺς ἑξῆς τύπους

| Ἑνικὸς | | Πληθυντικὸς | |
|---|---|---|---|
| Ὁ, ἡ σῶς, | τὸ σῶν | οἱ αἱ σῷ, | τὰ σᾶ |
| τῆς σῶς | καὶ σῶ | | |
| τόν, τὴν σῶν, | τὸ σῶν, | τούς, τὰς σῶς, | τὰ σᾶ |

Ἀναπληροῦνται αἱ ἄλλαι πτώσεις ἐκ τοῦ σῶος, σῶα, σῶον.

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** πολλῶν, πραέων, πολλά, πολύ, μεγάλων, μεγάλα, πραεῖα—τὰ σᾶ, τῶν σῴων, μέγα, μεγάλαις.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Ξενοφῶν ἔσωσε τὴν ἀθυ-

1 Ἡ Ν. Ἑλλην. κλίνει ὁμαλῶς· ὁ μεγάλος, ἡ μεγάλη, τὸ μεγάλον.

2 Ἡ Ν. Ἑλλην. κλίνει ὁμαλῶς· ὁ πρᾶος, τὸ πρᾶον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μον στρατιὰν ἐκ πολλῶν κινδύνων. 2. Ὥρμουν αὐτόθι ὁλκάδες πολλαί. 3. Πραέσι λόγοις ἡδέως ἤκομεν. 4. Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον. 5. Τὸ πολλὰ πράττειν κώδύνας πολλὰς ἔχει. 6. Ἦσαν κῶμαι πολλαί. 7. Ὁ ἀγαθὸς ποιμὴν ἐπιμέλεται, ὅπως αἱ ὄϊες σῷ ἔσονται. 8. Πραέσι λόγοις, ἀλλ' οὐ βίᾳ ὁ θυμὸς πραΰνεται. 9. Τὸ ἀθάνατον τοῦ ἀνθρώπου σῶν μένει. 10. Μὴ ἀθυμεῖτε, ἕως ἂν τὰ σώματα σᾶ ᾖ. 11. Μέγαν θησαυρὸν νόμιζε εἶναι τὸν πιστὸν φίλον. 12. Τῶν χρημάτων ἕνεκα οἱ ἄνθρωποι φέρουσι πολὺν πόνον καὶ πολλὴν ταραχήν.

## Β'. Βαθμοὶ ἐπιθέτων.

89. Τὰ ἐπίθετα ἔχουσι τρεῖς βαθμούς· θετικόν, συγκριτικὸν καὶ ὑπερθετικόν. Τὰ συγκριτικὰ καὶ ὑπερθετικὰ λέγονται μὲ ἓν ὄνομα παραθετικά.

Τὰ παραθετικὰ σχηματίζονται ἐκ τοῦ θέματος τοῦ θετικοῦ, προσθήκῃ τῶν οἰκείων καταλήξεων.

90. Α'. Συνηθέστεραι παραθετικαὶ καταλήξεις εἶναι

| | | | |
|---|---|---|---|
| τοῦ μὲν συγκριτικοῦ | τερος, | τέρα, | τερον |
| τοῦ δὲ ὑπερθετικοῦ | τατος, | τάτη, | τατον |

| Βαθμὸς θετικὸς | θέμα | συγκριτικὸς | ὑπερθετικὸς |
|---|---|---|---|
| | δεινο- | δεινό-τερος | δεινό-τατος |
| πρᾶος | πρᾶο- | πρᾳό-τερος | πρᾳό-τατος |
| ἀκριβὴς | ἀκριβες- | ἀκριβέσ-τερος | ἀκριβέσ-τατος |
| ὀξὺς | ὀξὺ- | ὀξύ-τερος | ὀξύ-τατος |
| πένης | πενετ- | πενέσ-τερος | πενέσ-τατος |
| χαρίεις | χαριετ- | χαριέσ-τερος | χαριέστατος |

91. Ὁ χαρακτὴρ ο τοῦ θέματος, ἐὰν ἡ πρὸ αὐτοῦ συλλαβὴ εἶναι βραχεῖα, ἐκτείνεται εἰς τὰ παραθετικὰ εἰς -ω, ἐὰν δὲ μακρὰ (φύσει ἢ θέσει), μένει βραχὺς (ο).

| | | | | |
|---|---|---|---|---|
| | σοφὸς | σοφο- | σοφώ-τερος | σοφώτατος |
| ἀλλὰ | ξηρὸς | ξηρο- | ξηρό-τερος | ξηρό-τατος |
| | σεμνὸς | σεμνο- | σεμνό-τερος | σεμνό-τατος |
| | ἔνδοξος | ἐνδοξο- | ἐνδοξό-τερος | ἐνδοξό-τατος |

Σημ. Τοῦ φίλος τὰ παραθετικά· φίλτερος, -τατος καὶ -ώτερος καὶ -ώτατος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

92. Παρατηρήσεις. Ἐπὶ τῶν εἰς **ος** ἐπιθέτων·

α'. Τὰ ἐπίθετα γεραιός, παλαιός, σχολαῖος σχηματίζουσι τὰ παραθετικὰ αὐτῶν εἰς -αίτερος, -αίτατος·

| | | |
|---|---|---|
| γεραιὸς | γεραί-τερος | γεραί-τατος |
| παλαιὸς | παλαί-τερος | παλαί-τατος |
| σχολαῖος, | σχολαί-τερος | σχολαί-τατος |

Κατὰ ταῦτα καὶ τὰ

| | | |
|---|---|---|
| ἴδιος | ἰδιαίτερος | ἰδιαίτατος |
| ὄψιος | ὀψιαίτερος | ὀψιαίτατος |

Οὕτω καὶ ἴσος, μέσος, ὄρθιος, εὔδιος, ἥσυχος, πλησίον, πρῷος (ἐκ τοῦ πρώϊος) καὶ μύχιος καὶ προύργου.

β'. Ἔχουσι τὸ δίχρονον ἐν τῇ παραληγούσῃ βραχύ, δι' ὃ καὶ τὰ παραθετικὰ εἶναι εἰς ώτερος, ώτατος·

1. Τὰ εἰς ῐος, ῐμος, ῐκος, ῐνος ἐπίθετα καὶ τὸ ἄνισος, λόγιος, ὠφέλιμος, λογικός, πεδινός.

2. Τὰ εἰς ᾰκος, ᾰλος, ᾰρος, ᾰτος, ᾰνος ἐπίθετα, μαλακός, ἁπαλός, καθαρός, δυνατός, ἱκανός.

γ'. Ἔχουσι τὸ δίχρονον ἐν τῇ παραληγούσῃ μακρόν, δι' ὃ καὶ τὰ παραθετικὰ εἶνε εἰς ότερος, ότατος·

1. Τὰ ἀνιᾱρός, φλύᾱρος, τρᾱνός, ἀνίᾱτος, ἀθέᾱτος, ἰσχῡρός, σῑμός, ψῑλός.

2. Τὰ σύνθετα ἐπίθετα ἐκ τοῦ τῑμή, θῡμός, χῡμός, ψῡχή, νῑκη, λῡπη, κῡρος, κίνδῡνος· ἤτοι τὰ

Ἄτιμος, ἔντιμος—ἄθυμος, εὔθυμος,—ἄχυμος, εὔχυμος—εὔψυχος, ἄψυχος—περίλυπος, ἄλυπος—ἀξιόνικος, καλλίνικος—ἄκυρος, ἔγκυρος—ἐπικίνδυνος, ἀκίνδυνος καὶ ἄλλα.

93. Β'. Σπανιώτεραι καταλήξεις εἶναι·

τοῦ μὲν συγκριτικοῦ έσ-τερος, α, ον,
τοῦ δὲ ὑπερθετικοῦ έσ-τατος, η, ον.

Ταύτας προσλαμβάνουσι τὰ εἰς -ων ἐπίθετα καὶ τὰ· ἁπλοῦς,[1] ἐρρωμένος, ἐπίπεδος, ἄκρατος, ἀφῆλιξ καὶ τὰ ἐκ τοῦ νοῦς σύνθετα.

| | | |
|---|---|---|
| σωφρον-έσ-τερος | σωφρον-έσ-τατος | |
| ἁπλούστερος | (ἐκ τοῦ ἁπλο-έστερος), | ἁπλούστατος. |
| κακονούστερος | (ἐκ τοῦ κακονοέστερος), | κακονούστατος |

1. Τὸ ἄπλους ἔχει παραθετικὸν ἀπλοώτερος, ἀπλοώτατος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σημ. α΄. Τὰ ἐπίθετα ἀλαζών, ἅρπαξ, κλέπτης, λάλος, μονοφάγος, ὀψοφάγος, πλεονέκτης σχηματίζουσι τὰ παραθετικὰ εἰς -ίστερος, ίστατος.

ἁρπαγίστερος ἁρπαγίστατος·
λαλίστερος λαλίστατος κλπ.

Σημ. β΄. Τὰ ἐπίθετα βλάξ, ἐπίχαρις, εὔχαρις, πίων καὶ ὑβριστὴς σχηματίζουσι τὰ παραθετικὰ εἰς ό (ώ) τερος, ό (ώ)τατος (§ 91), βλακότερος, -ότατος, ἐπιχαριτώτερος, -ώτατος.

94. Σπανιώταται παραθετικαὶ καταλήξεις εἶναι·

τοῦ μὲν συγκριτικοῦ -ίων (ἀρσ. καὶ θηλ.), ιον (οὐδ.)
τοῦ δὲ ὑπερθετικοῦ -ιστος ίστη, ιστον

Ταύτας προσλαμβάνουσι τὰ ἑξῆς ἐπίθετα·

Κακός, καλός, αἰσχρός, ἐχθρός, ἡδύς, ταχύς·

| | | | | | |
|---|---|---|---|---|---|
| 1. | κακίων, | κάκιον, | κάκιστος, | -η, | -ον |
| 2. | καλλίων (ἐκ θ. κάλλ-ος) | κάλλ-ιον, | κάλλιστος, | -η, | -ον |
| 3. | αἰσχίων, | αἴσχιον, | αἴσχιστος, | -η, | -ον |
| 4. | ἐχθίων, | ἔχθιον, | ἔχθιστος, | -η, | -ον |
| 5. | ἡδίων, | ἥδιον, | ἥδιστος, | -η, | -ον |
| 6. | θάσσων, θᾶσσον (ἐκ τοῦ ταχ. ίων), | | τάχιστος, | -η, | -ον |

Σημ. Περὶ τῆς κλίσεως τῶν εἰς ίων, ιον συγκριτικῶν πρβ. § 78 Α΄, καὶ περὶ τοῦ τόνου § 58. 3.

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** Τιμιώτερον, ἀμβλύτεροι, βεβαιότατοι, δικαιότερον, εὐφυεστέρου, εὐνούσταται, πλεονεκτίστατος, ἁγιωτέρα, ὀψιαίτατοι καρποί, πρωιαίτατα, ὀξυτάτη φωνή, βαρυτέρα ποινή, μυχιαίτατοι, ἐννυχώτερον (ἐκ τοῦ νὺξ σύνθ.), καλλίους ἐλπίδας, ἥδιστος καρπός, ἐχθίων γυνή, ἔχθιστος ἀνήρ.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Οἱ Σίφνιοι πλουσιώτατοι τῶν νησιωτῶν ἦσαν. 2. Ἀγησίλαος τῶν φίλων οὐ τοὺς δυνατωτάτους ἀλλὰ τοὺς προθυμοτάτους μάλιστα ἠσπάζετο. 3. Ταχυπλοώτερα τῶν θαλασσίων θηρίων δελφῖνες λέγονται εἶναι. 4. Οἱ τὰ ἄκρα τοῦ Ἄθω ἐνοικοῦντες μακροβιώτατοι εἶναι λέγονται. 5. Ἡ τιμὴ τοὺς μὲν καλοὺς εὐπρεπεστέρους ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους. 6. Ποῖα τῶν θηρίων χαλεπώτατα; 7. Ἀρετῆς οὐδὲν κτῆμα σεμνότερον καὶ βεβαιότερον. 8. Ἡ ἀρετὴ ἰσχυροτέρα τῆς κακίας. 9. Οἱ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται. 10. Ἡ πατρὶς τοῖς ἀνθρώποις



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φιλτάτη. 11. Οὐδὲν αἴσχιόν ἐστιν ἢ ἄλλα μὲν ἐν νῷ ἔχειν, ἄλλα δὲ λέγειν. 12. Παλαίτατος τῶν Ἑλλήνων νομοθέτης ἦν Μίνως ὁ τῶν Κρητῶν βασιλεύς. 13. Οἱ Λακεδαιμόνιοι ἀμαθέστεροι καὶ ἁπλούστεροι ἦσαν τῶν Ἀθηναίων. 14. Οὐδέν ἐστιν ἔχθιον βουλῆς κακῆς. 15. Ἄρης ἔχθιστος ἦν τῷ Διΐ. 16. Ταχεῖς οἱ πόδες, θάττους οἱ ἄνεμοι, τάχιστον ὁ νοῦς.

### Ἀνώμαλα παραθετικά.

95. Ἐπίθετά τινα σχηματίζουσι τὰ παραθετικά των ἐξ ἄλλων θετικῶν συνωνύμων.

| | | | | |
|---|---|---|---|---|
| ἀγαθὸς | ἀμείνων, | ἄμεινον | ἄριστος, | -η -ον |
| | βελτίων, | βέλτιον | βέλτιστος, | -η -ον |
| | κρείττων, | κρεῖττον | κράτιστος, | -η -ον |
| | λώων | λῷον | λῷστος, | -η -ον |
| κακὸς | κακίων, | κάκιον | κάκιστος, | -η -ον |
| | χείρων, | χεῖρον | χείριστος, | -η -ον |
| | ἥττων, | ἧττον | ἥκιστα (ἐπίρρημα) | |
| μικρὸς | μικρότερος, | α, ον | μικρότατος | -η -ον |
| | ἐλάττων, | ἔλαττον | ἐλάχιστος, | -η -ον |
| ὀλίγος | ἐλάττων, | ἔλαττον | ἐλάχιστος, | -η -ον |
| | μείων, | μεῖον | | |

| | | | | | |
|---|---|---|---|---|---|
| μέγας, | μείζων, | μεῖζον | μέγιστος, | -η, -ον | |
| πολύς, | πλείων, | πλέον | πλεῖστος, | πλείστη, | πλεῖστον |
| ῥᾴδιος, | ῥᾴων, | ῥᾷον | ῥᾷστος | ῥᾴστη, | ῥᾷστον |

96. Παραθετικά τινα σχηματίζονται ἐκ προθέσεων·

| | | | | | | |
|---|---|---|---|---|---|---|
| πρὸ | πρότερος, | -α, | -ον | πρῶτος | πρώτη | -ον |
| ὑπὲρ | ὑπέρτερος | -α, | -ον | ὑπέρτατος | -η | -ον |
| ὑπὸ | ὕστερος | -α, | -ον | ὕστατος, | -η | -ον |
| (ἐκ) | | | | ἔσχατος | | |
| πέραν | περαίτερος | | | | | |

97. Παραθετικὰ ἐπιρρήματα γίνονται ἐξ ἐπιρρημάτων καὶ ἐπιθέτων

α΄) Ἐξ ἐπιρρημάτων·

| | | | | | |
|---|---|---|---|---|---|
| ἄνω, | ἀνωτέρω, | ἀνωτάτω | κάτω, | κατωτέρω, | κατωτάτω |
| ἔσω | ἐσωτέρω, | ἐσωτάτω, | ἔξω, | ἐξωτέρω, | ἐξωτάτω |
| πόρρω, | πορρωτέρω, | πορρωτάτω, | πρόσω, | | προσωτάτω |
| ἔνδον, | ἐνδοτέρω | | (πρὸ) | προτέρω | — |
| | | | (ἀπὸ) | ἀπωτέρω | — |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

| | | | | | |
|---|---|---|---|---|---|
| ἐγγὺς | ἐγγυτέρω, ἐγγυτάτω | μάλα | μᾶλλον | μάλιστα | |
| | ἐγγύτερον, ἐγγύτατα | πρωῒ | πρωΐτερον | πρωΐτατα | |
| | ἔγγιον, ἔγγιστα | | | | |

β΄. Ἐξ ἐπιθέτων· τὰ μὲν θετικὰ λήγουσιν εἰς **-ως** (τροπικὰ ἐπιρρήματα) καὶ συγγενεύουσι κατὰ τύπον καὶ τόνον πρὸς τὴν γεν. πληθ. τῶν ἐπιθέτων **των**. Τὰ δὲ συγκριτικὰ εἶναι ἡ ἑνικὴ αἰτ. τοῦ οὐδετέρου συγκριτικοῦ ἐπιθέτου, τὰ δὲ ὑπερθετικὰ ἡ πληθ. αἰτ. τοῦ ὑπερθετικοῦ ἐπιθέτου.

| | | | |
|---|---|---|---|
| (σοφῶν) | σοφῶς, | σοφώτερον, | σοφώτατα |
| (ἀφρόνων) | ἀφρόνως, | ἀφρονέστερον, | ἀφρονέστασα |
| (χαριέντων) | χαριέντως, | χαριέστερον, | χαριέστατα |
| (ταχέων) | ταχέως, | θᾶττον, | τάχιστα |
| (καλῶν) | καλῶς, | κάλλιον, | κάλλιστα |

| | | | |
|---|---|---|---|
| Σημείωσαι τά· | εὖ, | ἄμεινον, | ἄριστα |
| | μάλα, | μᾶλλον, | μάλιστα |
| | ἐγγύς, | ἐγγύτερον, | ἐγγύτατα |
| | | ἐγγυτέρω, | ἐγγυτάτω |
| | πόρρω, | πορρωτέρω, | πορρωτάτω |

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** Κρείττω, καλλιόνων, καλλίστους, μείζους, ἥττω, οὐχ ἧττον, νουνεχόντως, βέλτιστον, εὐδαιμόνως, μεγάλως, βαρύτατα, ἐπιμελέστερον.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Πολλάκις τὸ μὲν χεῖρόν ἐστιν ἥδιον, τὸ δὲ βέλτιον λυπηρότερον. 2. Ἐν ταῖς ἀνάγκαις χρημάτων κρείττων φίλος. 3. Οἱ Ἕλληνες πλήθει μὲν μείους ἦσαν τῶν Περσῶν, ἀνδρείᾳ δὲ κρείττους. 4. Ἄριστον ὕδωρ. 5. Ῥᾷστα καὶ ἥδιστα διάγουσιν οἱ ἐγκρατεῖς. 6. Κρεῖττόν ἐστιν ὀψιμαθῆ εἶναι ἢ ἀμαθῆ. 7. Στέργε τὰ παρόντα, ζήτει τὰ βελτίω. 8. Κάλλιστος στέφανός ἐστιν ὁ ἀπὸ παιδείας. 9. Οὐκ οἴομαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. 10. Ἀεὶ κράτιστον τἀληθῆ λέγειν. 11. Τὸ ἀφανὲς ἐκ τοῦ φανεροῦ τάχιστα διαγιγνώσκεται. 12. Σωκράτης ἔλεγεν ἀμείνονα βασιλέα εἶναι τὸν ἑαυτοῦ δυνάμενον ἄρχειν τῶν παθῶν.

## Ἀριθμητικά.

98. Τὰ ἀριθμητικὰ εἶναι 1) ἐπίθετα (ἀπόλυτα, τακτικά, χρονικά, πολλαπλασιαστικά, ἀναλογικὰ καὶ διανεμητικά)· 2) οὐσιαστικά· 3) ἐπιρρήματα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 99. **Πίναξ ἀριθμητικῶν.**

| | Ἐπίθετα | | β'. οὐσιαστικά. | γ'. ἐπιρρήματα. |
|---|---|---|---|---|
| | 1. Ἀπόλυτα<br>τὰ 4 πρῶτα κλίνονται, τἆλλα εἶναι ἄκλιτα | 2. τακτικὰ<br>πάντα ἐπίθετα τρικατάληκτα εἰς ος (α, η), ον | κλίνονται κατὰ τὴν γ' κλίσιν εἰς -ας, -άδος | ἄκλιτα |
| 1 | **εἷς, μία, ἓν** | πρῶτος, -η, -ον | μονάς, -άδος, (ἑνὰς) | **ἅπαξ** |
| 2 | δύο | δεύτερος, -α, -ον | δυάς, -άδος | δίς, διττῶς, διχῆ |
| 3 | τρεῖς τρία | τρίτος, -η, -ον | τριάς, -άδος | τρίς, τριττῶς, τριχῆ |
| 4 | τέτταρες | τέταρτος, -η, -ον | τετρὰς | τετράκις, τετραχῆ |
| 5 | πέντε | πέμπτος, -η, -ον | πεμπὰς (πεντὰς) | πεντάκις |
| 6 | **ἕξ** | **ἕκτος, -η, -ον** | **ἑξὰς** | **ἑξάκις** |
| 7 | **ἑπτὰ** | **ἕβδομος, -η, ον** | **ἑβδομὰς** | **ἑπτάκις** |
| 8 | ὀκτὼ | ὄγδοος, -η, -ον | ὀγδοὰς (ὀκτὰς) | ὀκτάκις |
| 9 | ἐννέα | ἔνατος, -η, -ον | ἐννεὰς | ἐνάκις |
| 10 | δέκα | δέκατος, -η, -ον | δεκὰς | δεκάκις |
| 11 | **ἕνδεκα** | **ἑνδέκατος, -η, -ον** | **ἑνδεκὰς** | **ἑνδεκάκις** |
| 12 | δώδεκα | δωδέκατος, -η, -ον | δωδεκὰς | δωδεκάκις |
| 13 | τρισκαίδεκα | τρίτος καὶ δέκατος | τριὰς καὶ δεκὰς | τρισκαιδεκάκις |
| 14 | τεσσαρακαίδεκα | τεσαρακαιδέκατος | τετρὰς καὶ δεκὰς | τετταρακαιδεκάκις |
| 15 | πεντεκαίδεκα | πεντεκαιδέκατος | κ. τ. λ. | πεντεκαιδεκάκις |
| 16 | **ἑκκαίδεκα** | **ἑκκαιδέκατος** | | κ. τ. λ. |
| 17 | **ἑπτακαίδεκα** | **ἑπτακαιδέκατος** | | |
| 18 | ὀκτωκαίδεκα | ὀκτωκαιδέκατος | | |
| 19 | ἐννεακαίδεκα | ἐννεακαιδέκατος | | |
| 20 | εἴκοσι(ν) | εἰκοστὸς | εἰκὰς | εἰκοσάκις |
| 30 | τριάκοντα | τριακοσιοστὸς | τριακὰς | τριακοντάκις |
| 40 | τεσσαράκοντα | τεσσαρακοστὸς | κ. τ. λ. | τεσσαρακοντάκις |
| 50 | πεντήκοντα | πεντηκοστὸς | | πεντηκοντάκις |
| 60 | **ἑξήκοντα** | **ἑξηκοστὸς** | | κ. τ. λ. |
| 70 | **ἑβδομήκοντα** | **ἑβδομηκοστὸς** | | |
| 80 | ὀγδοήκοντα | ὀγδοηκοστὸς | | |
| 90 | ἐνενήκοντα | ἐνενηκοστὸς | | |
| 100 | **ἑκατὸν** | **ἑκατοστὸς** | **ἑκατοντὰς** | **ἑκατοντάκις** |
| 200 | διακόσιοι, αι, α | διακοσιοστὸς | κ. τ. λ. | διακοσάκις |
| 300 | τριακόσιοι, αι, α | τριακοσιοστὸς | | τριακοσάκις |
| 400 | τετρακόσιοι, αι, α | τετρακοσιοστὸς | | κ. τ. λ. |
| 500 | πεντακόσιοι, αι, α | πεντακοσιοστὸς | | |
| 600 | **ἑξακόσιοι, αι, α** | **ἑξακοσιοστὸς** | | |
| 700 | **ἑπτακόσιοι, αι, α** | **ἑπτακοσιοστὸς** | | |
| 800 | ὀκτακόσιοι, αι, α | ὀκτακοσιοστὸς | | |
| 900 | ἐννεακόσιοι, αι, α | ἐννεακοσιοστὸς | | |
| 1000 | χίλιοι, αι, α | χιλιοστὸς | χιλιὰς | χιλιάκις |
| 2000 | δισχίλιοι, αι, α | δισχιλιοστὸς | κ. τ. λ. | |
| 10000 | μύριοι, αι, α | μυριοστὸς | μυριὰς | μυριάκις |
| 20000 | δισμύριοι, αι, α | δισμυριοστὸς | δύο μυριάδες | δισμυριάκις |

1) Εἰς υς γ, υος λήγουσι τὰ τριτύς, τετρακτύς, πεντηκοστύς, ἑκατοστύς, χιλιοστύς, μυριοστύς.

2) Τὰ δασυνόμενα τῶν ἀριθμητικῶν τυποῦνται διὰ μαχέων στοιχείων, ἵνα ἑφελκύσωσι τὴν προσοχὴν τῶν μαθητῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

| 3. Πολλαπλασιαστικὰ εἰς -πλοῦς | 4. Ἀναλογικὰ εἰς -πλάσιος | 5. χρονικὰ εἰς -αῖος | 6. διανεμητικὰ |
|---|---|---|---|
| διπλοῦς, -ῆ, -οῦν (καὶ διττός) | διπλάσιος -α, -ον | δευτεραῖος | σύνδυο |
| τριπλοῦς, -ῆ, οῦν (καὶ τριττὸς) | τριπλάσιος -α, -ον | κλ. κατ᾽ ἀναλογίαν | σύντρεις κλ. καὶ διὰ τῶν προθέσεων ἀνά, κατά, εἰς μετ᾽ αἰτιατ. ἀνὰ δύο κλ. |
| κλ. κατ᾽ ἀναλογίαν | κλ κατ᾽ ἀναλογίαν | προτεραῖος | |
| πολλαπλοῦς, | πολλαπλάσιος | δευτεραῖος | |
| ποσαπλοῦς | ποσαπλάσιος | σκοταῖος | |

100. Ἐκ τῶν ἀριθμητικῶν δασύνονται τὰ ἐν § 6, β'.

101. Ἐκ τῶν ἀπολύτων ἀριθμητικῶν κλίνονται τὰ 4 πρῶτα μόνον.

| | Ἑνικὸς | | | Δυϊκὸς | Πληθυντικὸς | | | |
|---|---|---|---|---|---|---|---|---|
| | | | | | ἀρσ. θηλ. | οὐδ. | ἀρσεν. θηλ. | οὐδ. |
| ὀν. | εἷς | μία | ἕν | δύο | τρεῖς | τρία | τέσσαρες | τέσσαρα |
| γεν. | ἑνὸς | μιᾶς | ἑνὸς | δυοῖν | τριῶν | | τεσσάρων | |
| δοτ. | ἑνὶ | μιᾷ | ἑνὶ | δυοῖν | τρισὶ(ν) | | τέσσαρσι | |
| αἰτ. | ἕνα | μίαν | ἕν | δύο | τρεῖς | τρία | τέσσαρας | τέσσαρα |

Σημ. Κατὰ τὸ εἷς καὶ τὰ οὐδεὶς (οὐδεμία, οὐδέν) καὶ μηδεὶς καὶ ἐν τῷ πληθυντικῷ οὐδένες, οὐδένων, οὐδέσι, οὐδένας.

102. Παρατηρήσεις.

α'. Εἰς τὰ σύνθετα ἀριθμητικὰ (ἀπόλυτα καὶ τακτικὰ) τὸ μικρότερον συνήθως προτάσσεται τοῦ μεγαλειτέρου συνδεόμενον διὰ τοῦ καὶ ἢ τὸ μεγαλείτερον τοῦ μικροτέρου μετὰ ἢ ἄνευ τοῦ καί, 25= πέντε καὶ εἴκοσιν, ἢ εἴκοσι πέντε, (εἴκοσι καὶ πέντε).

Σημ. Ἐν μιᾷ λέξει γράφονται οἱ ἀριθμοὶ τρὶς καὶ δέκα, τέσσαρα καὶ δέκα, μέχρι τοῦ ἐννέα καὶ δέκα.

β'. Ἀπὸ τῆς ἑπομένης δεκάδος διὰ τῆς μετοχῆς δέων 1 ἢ 2

18= δυοῖν δεούσαις εἴκοσι ναυσί.

19= ἑνὸς δέον εἰκοστὸν ἔτος.

γ'. Οἱ Ἕλληνες πρὸς γραφὴν τῶν ἀριθμῶν διῄρουν τὰ γράμματα τοῦ ἀλφαβήτου εἰς τρεῖς ἀλφαβητικὰς τάξεις· ἐσήμαινον δέ·

| τὰς μὲν μονάδας | τὰς δὲ δεκάδας | τὰς δὲ ἑκατοντάδας |
|---|---|---|
| — | — | ἀπὸ 100-800 διὰ τῶν ρ'-ω'. |
| 1-5 διὰ τοῦ α'-ε' | ἀπὸ 10-80 διὰ τῶν ι'-π' | τὸ δὲ 900 διὰ τοῦ σαμπῖ ϡ |
| 7-9 » » ζ'-θ'. τὸ δὲ 6 διὰ στίγματος ϛ' | τὸ δὲ 90 » τοῦ ϟ' | |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὰς δὲ χιλιάδας ἐσήμαινον διὰ τῶν αὐτῶν γραμμάτων θέτοντες τόνον κάτωθεν καὶ ἀριστερά· ͵α=1000, ͵β=2000 κλπ.

Σημ. ἐν ταῖς ἐπιγραφαῖς εἶχον ἄλλα σημεῖα.

**Παραδείγματα πρὸς ἄσκησιν**[1]. 1. Μία χελιδὼν ἔαρ οὐ ποιεῖ. 2. Κέκροπι ἐγένοντο τρεῖς μὲν θυγατέρες, υἱὸς δὲ Ἐρυσίχθων. 3. Τῶν ἑσπερίδων χρυσᾶ μῆλα ἐφύλασσε δράκων κεφαλὰς ἔχων ἑκατόν. 4. Τὸν ἄρχοντα τριῶν δεῖ μνήμην ἔχειν· πρῶτον μὲν ὅτι ἀνθρώπων ἄρχει, δεύτερον ὅτι κατὰ νόμους ἄρχει, τρίτον ὅτι οὐκ ἀφ' ἑαυτοῦ ἄρχει. 5. Τὸ ἐννεάκις ἐννέα ὀγδοήκοντα ἓν ποιεῖ.

6. Ἡ ἑβδομὰς ἔχει ἑπτὰ ἡμέρας. 7. Πέντε ἡμιτάλαντα δύο καὶ ἥμισυ τάλαντα ποιεῖ. 8. Ἐν τοῖς ἐσχάτοις κινδύνοις οἱ Ρωμαῖοι ἑνὶ ἀνδρὶ πᾶσαν τὴν πόλιν ἐπέτρεπον. 9. Ἐντιμότατοι ἦσαν ἐν Ἀθήναις οἱ ἐννέα ἄρχοντες καὶ οἱ δέκα στρατηγοί. 11. Ἅπαξ γεγόναμεν, δὶς δ' οὐκ ἔστι γενέσθαι. 11. Ὁ κόραξ οὐ μόνον δύο ᾠὰ τίκτει, ἀλλὰ πλείω καὶ ἐπῳάζει περὶ εἴκοσιν ἡμέρας. 12. Ἡ μυῖα ἑξάπους οὖσα τοῖς μὲν τέτταρσι βαδίζει μόνοις, τοῖς δὲ προσθίοις ὡς χερσὶ χρῆται. 13. Τετάρτῳ ἔτει τετάρτης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος ἐν Θερμοπύλαις μάχη ἦν.

14. Ὁ Σοφοκλῆς ἐγεννήθη ἑβδομηκοστῇ πρώτῃ Ὀλυμπιάδι· ἦν δ' Αἰσχύλου μὲν νεώτερος ἔτεσιν ἑκκαίδεκα, Εὐριπίδου δὲ παλαίτερος εἴκοσι τέσσαρσι. 15. Δυοῖν λεγόντοιν θατέρου θυμουμένου ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος. 16. Μήδων πελτασταὶ ἑξακισμύριοι. 17. Ἀριθμὸς συμπάσης τῆς ὁδοῦ τῆς ἀναβάσεως καὶ καταβάσεως, σταθμοὶ διακόσιοι δέκα πέντε, παρασάγγες χίλιοι ἑκατὸν πεντήκοντα, χρόνου πλῆθος τῆς ἀναβάσεως καὶ καταβάσεως ἐνιαυτὸς καὶ τρεῖς μῆνες.

18. Μύριοι Ἕλληνες, ἐνακισχίλιοι Ἀθηναῖοι καὶ χίλιοι Πλαταιεῖς, ἐν Μαραθῶνι κρείττους ἦσαν δέκα μυριάδων Περσῶν. 19. Σοφοκλῆς τῷ τρίτῳ ἔτει τῆς τρίτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος ἀπέθανεν. 20. Ἡρόδωρος ὁ Μεγαρεὺς σαλπίζων ἅμα δυοῖν σαλπίγγοιν ἐνίκησεν ἑκκαιδεκάκις. 21. Δύο μὲν ὦτα ἔχομεν, μίαν δὲ γλῶτταν, ἵνα πλείω μὲν ἀκούωμεν, μείω δὲ λέγωμεν.

---

1) Οὐ μόνον ἐπὶ τῶν ἀριθμητικῶν, ἀλλὰ καὶ πρὸς ἐμπέδωσιν τῶν μεμαθημένων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 4. Ἀντωνυμίαι.

### 153. α΄. Προσωπικαί.

| | Ἑνικός | | | Πληθυντικός | | |
|---|---|---|---|---|---|---|
| | 1 πρόσ. | 2 πρόσ. | 3 πρόσ. | 1 πρόσ. | 2 πρόσ. | 3 πρόσ. |
| Ὀν. | ἐγὼ | σὺ | | ἡμεῖς | ὑμεῖς | σφεῖς |
| γεν. | ἐμοῦ, μου | σοῦ | (οὗ) | ἡμῶν | ὑμῶν | σφῶν |
| δοτ. | ἐμοί, μοι | σοὶ | (οἷ) | ἡμῖν | ὑμῖν | σφίσι (ν) |
| αἰτ. | ἐμέ, με | σὲ | (ἕ) | ἡμᾶς | ὑμᾶς | σφᾶς |

**Δυϊκός**

| | | | | | |
|---|---|---|---|---|---|
| Ὀν. καὶ δοτ. | νώ, | σφώ, | αὐτώ, | ἅ, | ὥ, |
| γεν. καὶ αἰτ. | νῷν, | σφῷν | αὐτοῖν, | αἷν | οἷν. |

Σημ. Μετὰ τοῦ γε· ἔγωγε, ἐμοῦγε, ἔμοιγε, ἐμέγε.
σύγε, σοῦγε σοίγε, σέγε

ἔγωγε=ἐγὼ βεβαίως, ἐγὼ τοὐλάχιστον, μάλιστα.

Σημ. Ἡ ἑνικὴ ὀνομ. τοῦ 3 προσ. καὶ ὁ δυϊκὸς αὐτοῦ ἐλλείπει καὶ ἀντ' αὐτῶν ἀπαντᾷ ἡ αὐτός.

### β΄. Κτητικαί.

| ἐπὶ ἑνὸς κτήτορος αἱ | | | | ἐπὶ πολλῶν κτητόρων αἱ | | |
|---|---|---|---|---|---|---|
| 1 πρόσ. | ἐμός, | ἐμὴ | ἐμὸν | ἡμέτερος, | ἡμετέρα, | ἡμέτερον |
| 2 » | σός, | σή, | σὸν | ὑμέτερος, | ὑμετέρα, | ὑμέτερον |
| 3 » | (ὅς, | ἥ, | ὅν) | (σφέτερος, | σφετέρα, | σφέτερον) |

Κλίνονται ὁμαλῶς ὡς τρικατάληκτα ἐπίθετα εἰς ος, α (η), ον, κατὰ τὴν α΄ καὶ β΄ κλίσιν, ἄνευ κλητ.

### γ΄. Αὐτοπαθεῖς.

**Ἑνικός**

| | 1 πρόσωπον | 2 πρόσωπον | 3 πρόσωπον |
|---|---|---|---|
| γεν. | ἐμαυτοῦ, -ῆς | σεαυτοῦ, -ῆς | ἑαυτοῦ, -ῆς, -οῦ |
| δοτ. | ἐμαυτῷ, -ῇ | σεαυτῷ -ῇ | ἑαυτῷ, -ῇ, -ῷ |
| αἰτ. | ἐμαυτόν, ὴν | σεαυτόν, -ὴν | ἑαυτόν, -ήν, -ὸ |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**Πληθυντικός**

| | | | |
|---|---|---|---|
| γεν. | ἡμῶν αὐτῶν | ὑμῶν αὐτῶν | σφῶν αὐτῶν καὶ ἑαυτῶν |
| δοτ. | ἡμῖν αὐτοῖς,-αῖς | ὑμῖν αὐτοῖς -αῖς | σφίσιν αὐτοῖς, -αῖς, -οῖς καὶ ἑαυτούς, -άς, -ά. |
| αἰτ. | ἡμᾶς αὐτούς,-ὰς | ὑμᾶς αὐτούς, -ὰς | σφᾶς αὐτούς, -άς, ά καὶ ἑαυτούς, -άς, ά. |

Σημ. α'. Παρὰ τὸ σεαυτοῦ κλ. ἑαυτοῦ κλ. λέγεται καὶ σαυτοῦ κλ., αὑτοῦ κλ.

Σημ. β'. Αἱ αὐτοπαθεῖς ἀντωνυμίαι ἔχουσιν ἐν χρήσει μόνον τὰς πλαγίας πτώσεις.

## δ'. Ἀλληλοπαθεῖς.

| | Δυϊκὸς | | | Πληθυντικὸς | | |
|---|---|---|---|---|---|---|
| γεν. | ἀλλήλοιν, | αιν, | -οιν, | ἀλλήλων, | ων, | -ων |
| δοτ. | ἀλλήλοιν, | αιν, | -οιν, | ἀλλήλοις, | -αις, | -οις |
| αἰτ. | ἀλλήλω, | -α, | -ω, | ἀλλήλους, | -ας, | ἄλληλα |

## ε'. Δεικτικαί.

| Ἑνικὸς | | | Πληθυντικὸς | | |
|---|---|---|---|---|---|
| ὅδε, | ἥδε, | τόδε | οἵδε, | αἵδε, | τάδε |
| τοῦδε, | τῆςδε, | τοῦδε κλ. | τῶνδε, | τῶνδε, | τῶνδε κλ. |

Σημ. Ἡ ὅδε εἶναι σύνθετος ἐκ τοῦ ἄρθρου ὁ, ἡ, τὸ καὶ τοῦ ἐγκλιτικοῦ δέ· κλίνεται κατὰ τὸ ἄρθρον, τοῦ δὲ μένοντος ἀκλίτου.

β'. Οὗτος, αὕτη, τοῦτο.

| | Ἑνικὸς | | | Πληθυντικὸς | | |
|---|---|---|---|---|---|---|
| ὀν. | οὗτος, | αὕτη, | τοῦτο | οὗτοι, | αὗται, | ταῦτα |
| γεν. | τούτου, | ταύτης, | τούτου | τούτων διὰ τὰ 3 γένη, | | |
| δοτ. | τούτῳ, | ταύτῃ, | τούτῳ | τούτοις, | ταύταις, | τούτοις |
| αἰτ. | τοῦτον, | ταύτην, | τοῦτο | τούτους, | ταύτας, | ταῦτα |
| κλ. | ὦ οὗτος | ὦ αὕτη | | ὦ οὗτοι | ὦ αὗται. | |

**Δυϊκὸς**

ὀν. καὶ αἰτ. τούτω γεν. καὶ δοτ. τούτοιν.

γ'. Ἐκεῖνος, ἐκείνη, ἐκεῖνο.

Κλίνεται κατὰ τὰ εἰς ος, η, ον ἐπίθετα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σημ. α'. Κατὰ τὴν ὅδε κλίνονται καὶ αἱ ἑξῆς·

τοιόςδε, τοιάδε τοιόνδε — τοσόςδε, τοσήδε, τοσόνδε·
τηλικόςδε τηλικήδε, τηλικόνδε.

Σημ. β'. Κατὰ τὴν οὗτος κλίνονται καὶ αἱ ἑξῆς·

τοιοῦτος, τοιαύτη, τοιοῦτο καὶ τοιοῦτον,
τοσοῦτος, τοσαύτη, τοσοῦτο, καὶ τοσοῦτον,
τηλικοῦτος, τηλικαύτη, τηλικοῦτο καὶ τηλικοῦτον.

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** ἐμοί, ἡμῶν, ὑμῖν, σοί, μου, σά, ὑμετέρων, αὐτῶν, ἑαυτοῖς, ἀλλήλω, τάςδε, οἵδε, ἐκεῖναι, ἐκείνῳ, τάδε.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1. Καὶ ὁ ἐχθρός με παιδεύει· σαφέστερον γὰρ ἐμοῦ γινώσκει τὰ ἁμαρτήματά μου. 2. Μάλα φρόντιζε τοῦ σώματος, μᾶλλον δὲ τῆς σεαυτοῦ ψυχῆς. 3. Ὅσα καὶ ἐμοὶ καὶ σοὶ καὶ πᾶσιν ἡμῖν ἐστι, ταῦτα ἅπαντά ἐστι δῶρα Θεοῦ. 4. Πάντων μάλιστα αἰσχύνου σεαυτόν. 5. Ὅσῳ σοφώτερός ἐστιν οὗτος, τοσούτῳ καὶ σωφρονέστερος καθ' ἑαυτοῦ τὴν πάγην περιστρέφει. 6. Σύμμαχον ἐμαυτὸν παρέχω σοι. 7. Μὴ ἀεὶ ταὐτὰ λέγετε. 8. Νόμιζε τὰ ἐμὰ σὰ εἶναι. 9. Ἐν ἐκείνῳ τῷ ὄρει ἱερόν ἐστι τῶν Μουσῶν. 10. Τὼ πόδε καὶ τὼ χεῖρε ὁ θεὸς πρὸς τὸ συνεργεῖν ἀλλήλοις ἐποίησεν.

### ς'. Ὁριστική.

108. Αὐτός, αὐτή, αὐτὸ

κλίνεται κατὰ τὰ εἰς -ος, -η, -ον ἐπίθετα.

Σημ. α'. Ἡ αὐτὸς ἀναπληροῖ τὴν προσωπικὴν τοῦ 3 προσώπου· παρβ. § 103, σημ.

Σημ. β'. Ἡ αὐτός, ὅταν λαμβάνῃ τὸ ἄρθρον, σημαίνει ὁ ἴδιος καὶ πάσχει κρᾶσιν· ὁ αὐτὸς = αὑτός, ἡ αὐτὴ = αὑτή, τὸ αὐτὸ = ταὐτό.

### ζ'. Ἐρωτηματικαί.

109. α'. Τίς (ἀρσ. καὶ θηλ.), τί (οὐδ.) εἶναι ἀνώμαλον δικατάληκτον ἐπίθετον καὶ κλίνεται οὕτω·

| **Ἑνικὸς** | **Πληθυντικὸς** |
|---|---|
| Ὀν. τίς, τί ; | τίνες ; τίνα ; |
| γεν. τίνος ; διὰ τὰ 3 γένη | τίνων ; διὰ τὰ 3 γένη |
| δοτ. τίνι ; » | τίσι ; » |
| αἰτ. τίνα ; τί ; | τίνας ; τίνα ; |

**Δυϊκὸς**

Ὀν. καὶ αἰτ. τίνε γεν. καὶ δοτ. τίνοιν;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

β'. Ὅστις (=ὁποῖος), ἥτις, ὅ,τι, πλ. οἵτινες, αἵτινες, ἅτινα καὶ ἅττα σύνθετος ἐκ τῆς ἀναφορικῆς ὅς ἥ, ὅ καὶ τῆς ἀορίστου τίς· (ἰδὲ τὴν κλίσιν ταύτης εἰς § 111).

γ'. Πότερος, ποτέρα, πότερον; (=τίς ἐκ τῶν δύο;) κλίνεται κατὰ τὰ εἰς ος, α, ον ἐπίθετα.

δ'. Ποῖος, ποία, ποῖον; =ποίου εἴδους; κλίνεται κατὰ τὰ εἰς ος, α, ον ἐπίθετα.

ε'. Πόσος, πόση, πόσον; =πόσον μέγας, κλίνεται κατὰ τὰ εἰς ος, η, ον ἐπίθετα.

ϛ'. Πηλίκος, πηλίκη, πηλίκον; =ποίας ἡλικίας; κλίνεται κατὰ τὰ εἰς ος, η, ον ἐπίθετα.

## η'. Ἀόριστοι.

110 α'. Τὶς (ἀρσ. καὶ θηλ.), τὶ (οὐδ.) εἶναι ἀνώμαλον δικατάληκτον ἐπίθετον καὶ κλίνεται οὕτω·

| | **Ἑνικὸς** | **Πληθυντικὸς** |
|---|---|---|
| Ὀν. | τίς, τὶ | τινές, τινὰ καὶ ἅττα |
| γεν. | τινὸς καί του | τινῶν διὰ τὰ 3 γένη. |
| δοτ. | τινὶ καί τῳ | τισὶ » |
| Ἀόριστ. α' | ἑν.<br>δυϊ.<br>πλ. | ἔ-γραψ-α, -ας, -ε(ν)<br>ἐ-γράψ-ατον, -άτην<br>ἐ-γράψ-αμεν, -ατε, -αν | γράψ-ω, -ῃς, -ῃ<br>γράψ-ητον, -ητον<br>γράψ-ωμεν, -ητε, -ωσι(ν) | γράψ αιμι, -αις, -αι [1]<br>γράψ-αιτον, -αίτην<br>γράψ-αιμεν, -αιτε, -αιεν |
| Παρακείμ. | ἑν.<br>δυϊ.<br>πλ. | γέ-γραφ-α, -ας, ε<br>γε-γράφ-ατον, -ατον<br>γε-γράφ-αμεν, -ατε, -ασι(ν) | γε-γράφ-ω, -ῃς, -ῃ κλ.<br>καὶ γεγραφὼς ὦ, ᾖς, ᾖ<br>γεγραφότες ὦμεν, ἦτε, ὦσι | γεγραφὼς εἴην, εἴης, εἴη<br>γεγραφότε εἶτον, εἴτην<br>γεγραφότες εἶμεν, εἶτε,<br>εἶεν καὶ εἴησαν καὶ<br>γεγράφ-οιμι, -οις, οι κλ. |
| Ὑπερσυντ. | ἑν.<br>δυϊ.<br>πλ. | ἐ-γε-γράφ-ειν, -εις, -ει<br>ἐ-γε-γράφ ει-τον, -είτην<br>ἐ-γε-γράφ-ει-μεν, -ειτε, -εσαν | | |
| Τετελ. μέλ. | ἑν.<br>δυϊ.<br>πλ. | γεγραφὼς ἔσομαι, ἔσει, ἔσται<br>γεγραφότε ἔσεσθον, ἔσεσθον<br>γεγραφότες ἐσόμεθα, ἔσεσθε, ἔσονται | | γεγραφὼς ἐσοίμην, ἔσοιο, ἔσοιτο<br>γεγραφότε ἔσοισθον, ἐσοίσθην<br>γεγραφότες ἐσοίμεθα, ἔσοισθε, ἔσοιντο |

1. Οἱ τύποι γράψειας, γράψειε(ν), γράψειαν εἶναι συνηθέστεροι παρ' ἀττικοῖς (§ 280 β' σημ. 6').

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νόλητα.

*γητικά.*

| Προστακτικὴ | Ἀπαρέμφατον | Μετοχὴ |
|---|---|---|
| γράφ-ε, γραφ-έτω<br>γράφ-ετον, γραφ-έτων<br>γράφ-ετε, -όντων (καὶ -έτωσαν) | γράφ-ειν | γράφων<br>γράφουσα<br>γράφον |
| | | |
| | γράψ-ειν | γράψων<br>γράψουσα<br>γράψον |
| γράψον, -άτω<br>γράψ-ατον, -άτων<br>γράψ-ατε, -άντων (καὶ -άτωσαν) | γράψ-αι | γράψας<br>γράψασα<br>γράψαν |
| γεγραφὼς ἴσθι, ἔστω<br>γεγραφότε ἔστον, ἔστων<br>γεγραφότες ἔστε, ἔστων καὶ ἔστωσαν | γεγραφ-έναι | γεγραφὼς<br>γεγραφυῖα<br>γεγραφὸς |
| | | |
| | | γεγραφὼς ἐσόμενος<br>γεγραφυῖα ἐσομένη<br>γεγραφὸς ἐσόμενον |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μέσα καὶ

| | | Ὁριστικὴ | Ὑποτακτικὴ | Εὐκτικὴ |
|---|---|---|---|---|
| Ἐνεστώς | ἑν.<br>δυϊ.<br>πλ. | γράφ-ομαι, ει (ῃ), -εται<br>γράφ-εσθον, -εσθον<br>γραφ-όμεθα, -εσθε, -ονται | γράφ-ωμαι, -ῃ, -ηται<br>γράφ-ησθον, -ησθον<br>γραφ-ώμεθα, -ησθε, -ωνται | γραφ-οίμην, -οιο, -οιτο<br>γράφ-οισθον, -οίσθην<br>γραφ-οίμεθα, -οισθε, -οιντο |
| Παρατατ. | ἑν.<br>δυ.<br>πλ. | ἐγραφ-όμην, -ου, -ετο<br>ἐγράφ-εσθον, -έσθην<br>ἐγραφ-όμεθα, -εσθε, -οντο | | |
| Παθ μ. α΄. | ἑν<br>δυϊ.<br>πλ. | γραφθή-σομαι, σει (ῃ) -σεται<br>γραφθήσ-εσθον, -εσθον<br>γραφθησ-όμεθα, -εσθε, -ονται | | γραφθησ-οίμην, -οιο, -οιτο<br>γραφθήσ-οισθον, -οίσθην<br>γραφθησ-οίμεθα, -οισθε, -οιντο |
| Μέσ μέλ. α | ἑν.<br>δυϊ<br>πλ. | γράψ-ομαι, ει (ῃ), -εται<br>γράψ-εσθον, -εσθον<br>γραψ-όμεθα, -εσθε, -ονται | | γραψ-οίμην, -οιο, -οιτο<br>γράψ-οισθον, -οίσθην<br>γραψ-οίμεθα, -οισθε, -οιντο |
| Παθ. ἀόρ α΄ | ἑν.<br>δυϊ.<br>πλ. | ἐγράφ-θη-ν, -ης, -η<br>ἐγράφθ-ητον, -ήτην<br>ἐγράφθ-ημεν, -ητε, -ησαν | γραφθῶ, -ῇς, -ῇ<br>γραφθ-ῆτον, -ῆτον<br>γραφθ-ῶμεν, -ῆτε, -ῶσι(ν) | γραφθ-είην, -είης, -είη<br>εἶτον (είητον), -είτην (ειήτην)<br>-εἶμεν (είημεν), -εἶτε (είητε)<br>-εἶεν (είησαν) |
| Μέσ ἀόρ. α | ἑν.<br>δυϊ.<br>πλ. | ἐγραψά-μην, -ω, -ατο<br>ἐγράψ-ασθον, -άσθην<br>ἐγραψ-άμεθα, -ασθε, -αντο | γράψ-ωμαι, ῃ, -ηται<br>γράψ-ησθον, -ησθον<br>γραψ-ώμεθα, -ησθε, -ωνται | γραψ-αίμην, -αιο, -αιτο<br>γράψ-αισθον, -αίσθην<br>γραψ-αίμεθα, -αισθε, -αιντο |
| Παρακείμ. | ἑν.<br>δυϊ<br>πλ. | γέγραμ-μαι, -ψαι, -πται<br>γέγραφ-θον, -φον<br>γεγράμ-μεθα, -φθε, -αται (δ 267)[1] | γεγραμ-μένος, ὦ, ᾖς, ᾖ<br>γεγραμ-μένω ἦτον, ἦτον<br>γεγραμ-μένοι ὦμεν, ἦτε ὦσι(ν) | γεγραμ-μένος εἴην, -ης, -η<br>γεγραμ-μένω εἶτον, -εἴτην<br>γεγραμ-μένοι εἶμεν, εἶτε, εἴησαν καὶ εἶεν |
| Ὑπερσυντ | ἑν.<br>δυϊ.<br>πλ. | ἐγεγράμ-μην, -ψο, -πτο<br>ἐγέγρα-φθον, φθην<br>ἐγεγράμ-μεθα, -φθε, -ατο | | |
| Τετελ. μέλ | ἑν.<br>δυϊ<br>πλ. | γεγράψ-ομαι, ει (ῃ), -εται<br>γεγράψ-εσθον, -εσθον<br>γεγραψ-όμεθα, -εσθε, -ονται | | γεγραψ-οίμην, -οιο, -οιτο<br>γεγράψ-οισθον, οίσθην<br>γεγραψ-οίμεθα, -οισθε, -οιντο |

1. Ἐνίοτε καὶ περιφραστικῶς γεγραμμένος ἦν κλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*παθητικά*

| Προστακτική | Ἀπαρέμφατον | Μετοχή |
|---|---|---|
| γράφ-ου, γραφ-έσθω<br>γράφ-εσθον, γραφ-έσθων<br>γράφ-εσθε, -έσθων (καὶ -έσθωσαν) | γράφ-εσθαι | γραφό-μενος, η, ον |
| | | |
| | γραφθ-ήσεσθαι | γραφθη-σόμενος, η, ον |
| | γράψ-εσθαι | γραψό-μενος, η, ον |
| γράφθ-ητι, -ήτω<br>γράφθ-ητον, -ήτων<br>γράφθ-ητε, -έντων (καὶ -ήτωσαν) | γραφθ-ῆναι | γραφ-θείς, εῖσα, έν |
| γράψ-αι, -άσθω<br>γράψ-ασθον, -άσθων<br>γράψ-ασθε, -άσθων (καὶ -άσθωσαν) | γράψ-ασθαι | γραψά-μενος, η, ον |
| γέγραψ-ο, -φθω<br>γέγρα-φθον, -άφθων<br>γέγρα-φθε, -άφθων (καὶ -άφθωσαν) | γεγρά-φθαι | γεγραμ-μένος, η, ον |
| | | |
| | γεγράψ-εσθαι | γεγραψό-μενος, η, ον |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### Σχηματισμὸς τῶν χρόνων

α΄) τῶν ἀφωνολήκτων θεμάτων.

157. Ὁ χαρακτὴρ τῶν ἀφωνόληκτον θέμα ἐχόντων ρημάτων μετὰ τὴν πρόσληψιν τῶν ἀπὸ συμφώνου ἀρχομένων χρονικῶν καταλήξεων (§ 148 καὶ 149) πάσχει τὰς ὑπὸ τῆς εὐφωνίας ὑπαγορευομένας μεταβολὰς καὶ ἀποβολάς[1]· ἤτοι

α΄) χειλόφωνον π, β, φ, βλέπ-ω, τρίβ-ω, γράφ ω
μετὰ σ γίνεται ψ (βλέπ-σομαι) βλέψομαι,
(τρίβ-σομαι) τρίψομαι
(γράφ-σω) γράψω
πρὸ θ γίνεται φ· (ἐβλέπ θην) ἐβλέφθην
ἐτρίβ θην ἐτρίφθην
πρὸ μ ἀφομοιοῦται εἰς μ· (βέβλεπ-μαι) βέβλεμ-μαι
(τέτριβ-μαι) τέτριμ-μαι
(γέγραφ-μαι) γέγραμ-μαι
πρὸ τ γίνεται π· (τέτριβ-ται) τέτριπ-ται
(γέγραφ-ται) γέγραπ-ται
εἰς τὸν α΄ παρακ. ἄνευ κ, γίνεται φ· (βέβλεπ-α) βέβλεφ-α
(τέτριβ-α) τέτρι-φα

πρὸ τοῦ σθ-, μετὰ τὴν ἔκπτωσιν τοῦ σ μεταξὺ τῶν δύο συμφώνων, κείμενον πρὸ τοῦ θ γίνεται, ὡς ἀνωτέρω, φ·
(βέβλεπ-σθε, βέβλεπ-θε) βέβλεφθε
(τέτριβ-σθε, τέτριβ-θε) τέτριφθε

Σημ. Ἐὰν συμπέσωσι μμ πρὸ μ, ἐκπίπτει τὸ ἕν· οὕτω πθ. πρακ. πέπεμ-μαι τοῦ πέμπω ἀντὶ πέπεμμ-μαι.

β΄) οὐρανισκόφωνον κ, γ, χ· διώκ-ω, ταράσ-σω (θ. ταραχ-), πράσσω (θ. πραγ-)
» μετὰ σ γίνεται ξ· (διώκ-σω) διώξω
(πράγ-σω) πράξω
(ταράχ-σω) ταράξω.

---

1) Ὁ διδάσκαλος χάριν ἀσκήσεως καὶ ἐμπεδώσεως τῶν ἑπομένων κανόνων προτείνει τὴν γραφὴν ἑνὸς τῶν καταλεγομένων ρημάτων εἰς πάντα τὰ πρόσ. καὶ ἀριθ. τοῦ παθ. πρκ. καὶ ὑπερσ. τῆς ὁριστ. καὶ προστ., ἔτι δὲ καὶ εἰς τὴν ἀπαρ. καὶ μετχ., τὰ δ' ἄλλα ρήματα σχηματίζουσιν οἱ μαθηταὶ ἀπὸ στόματος ἐν τῇ παραδόσει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐρανισκόφωνον πρὸ θ γίνεται χ· (ἐ-διώκ-θην) ἐδιώχ-θην
(ἐπράγ-θην) ἐπράχ-θην

» πρὸ μ » γ· (δεδίωκ-μαι) δεδίωγμαι
(τετάραχ-μαι) τετάραγμαι

» πρὸ τ » κ· (πέπραγ-ται) πέπρακται
(τετάραχ-ται) τετάρακται

» εἰς τὸν α΄ παρακ., ἄνευ κ, γίνεται χ· τέταχα, δεδίωχα.

» πρὸ τοῦ σθ-, μετὰ τὴν ἔκπτωσιν τοῦ σ μεταξὺ δύο συμφώνων, κείμενον πρὸ τοῦ θ γίνεται, ὡς ἀνωτέρω, χ·
(δεδίωκ-σθε) δεδίωχθε,
(πέπραγ-σθε) πέπραχθε.

Σημ. Ἐὰν συμπέσωσι γγ πρὸ τοῦ μ, ἐκπίπτει τὸ ἕν· πθ. πρκ. τοῦ σφίγγω εἶνε ἔσφιγ-μαι, ἀντὶ ἔσφιγγ-μαι, ἔσφιγξαι, ἔσφιγκται, ἐσφίγμεθον κλ.

γ΄) ὀδοντόφωνον τ, δ, θ· ἀνύτ-ω, σχίζω (θ. σχιδ-), πείθ-ω.

» πρὸ τοῦ σ ἐκπίπτει· (ἀνύτ-σω) ἀνύσω
(σχίδ σω) σχίσω
(πείθ-σω) πείσω.

» πρὸ τοῦ θ, τ, μ γίνεται σ· (ἠνύτ-θην) ἠνύσθην
(πέπειθ-ται) πέπεισται
(πέπειθ-μαι) πέπεισμαι

» πρὸ τοῦ κ τοῦ α΄ παρκ. ἐκπίπτει· (ἤνυτ-κα) ἤνυκα
(πέπειθ-κα) πέπεικα.

» πρὸ τοῦ σθ, μετὰ τὴν ἔκπτωσιν τοῦ σ μεταξὺ δύο συμφώνων, κείμενον πρὸ τοῦ θ, ὡς ἀνωτέρω, γίνεται σ· (ἤνυτ-σθε) ἤνυσ-θε
(ἔσχιδ-σθε) ἔσχισθε
(πεπεῖθ-σθαι) πεπεῖσθαι

Σημ. Τὸ σπένδω καὶ πάσχω (ἐκ θ. πενθ-) μετὰ τὴν ἔκπτωσιν τοῦ νδ, νθ πρὸ τοῦ σ ἐκτείνει τὸ ε εἰς ει· (σπένδ-σομαι) σπείσομαι, (πένθ-σομαι) πείσομαι.

158. Τὰ εἰς ίζω (ιδ-) ὑπερδισύλλαβα σχηματίζουσι μέλλοντα ἀττικὸν (§ 150, 2).[1]

κομίζω, (κομιέσω κομιέω) κομιῶ, -ιεῖς, -ιεῖ, κομιοῦμεν κλ.
ἀγωνίζομαι (ἀγωνιέσομαι) ἀγωνιοῦμαι, -ιεῖ, -ιεῖται κλ.

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** Τρίψομεν, ἐτρίψατε, κόψουσι, κεκόφατε, κέκοψαι, πεπλέχατε, ἐσπουδάκατε, ἐπλέχθησαν, ἔρριψαν, δεδάνεικας, ἀφανιοῦσι, τετρίφθω, βεβρέχθαι, ἐγεγράμμεθα,

1 Οὐχὶ εἰς τὰ δανε-ίζω, ἀθρο-ίζω, (ληΐζω) λῄζω, (χρηΐζ-ω) χρῄζω, (σωΐζω) σῴζω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκρύφθην, βεβλαμμένος, βλάψατε, τεθάφθαι, ἔκοψαν, κέκρυπται, φυλαχθήσομαι, ἐτάχθητε, πεφύλακται, σαλπίγξατε, πέπλασται, ἤθροισαι, σέσωσται, ἔσπεισται.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1) Πρᾶξον μεγάλα. 2) Ἐσκεμμένα καὶ παρεσκευασμένα ἐστίν. 3) Μὴ πιστεύσητε τοῖς ἐψευσμένοις. 4) Σύσσωμος ἡ πόλις ἐκήρυξε πόλεμον. 5) Ὁ θάνατος σὲ τῶν κακῶν ἀπαλλάξει. 6) Ἡ Τύρος συνῆπτε χώματι πρὸς τὴν ξηράν. 7) Ἐδεξάμην κανᾶ ὀστῶν πλέα. 8) Ἄγγελοι πρὸς τὸν δῆμον ἐπέμφθησαν. 9) Οἱ αἰχμάλωτοι πρὸς τὸν βασιλέα ἤχθησαν. 10) Οἱ ἄνθρωποι βαδιοῦνται ὀρθοί. 11) Πλούτιζε τὸν φίλον· σαυτὸν γὰρ πλουτιεῖς. 12) Ὁ Ἥφαιστος ἐρρίφθη ἐκ τοῦ οὐρανοῦ ὑπὸ τοῦ Διός. 13) Ὁ Ὀρφεὺς περὶ τὴν Πιερίαν τέθαπται. 15) Πείσομαι θεῷ μᾶλλον ἢ ἀνθρώποις. 15) Ἐθεῶντο ἀσπίδας διατεθρυμμένας, δόρατα συντεθραυσμένα. 16) Ξέρξης ἐκ χρυσῆς φιάλης ἔσπεισεν. 17) Ἐπεὶ ἐσάλπιγξεν, οἱ Ἕλληνες τῷ Ἐνυαλίῳ ἐπηλάλαξαν. 18) Σοφοκλῆς γυμνὸς ἀληλιμμένος ἐχόρευσεν. 19) Οἰμώξονταί ποτε οἱ κακοί.

## Δεύτεροι χρόνοι.

159. Ἐκτὸς τοῦ ἀορίστου εἰς -σα, τοῦ παρακ. εἰς -κα, τοῦ πθ. ἀορ. εἰς -θην, οἵτινες λέγονται ἀόρ. α΄ καὶ παρκ. α΄, ἀπαντῶσι καὶ ἄλλοι τύποι τῶν χρόνων τούτων ἄνευ σ, κ, θ εἰς τὸ ρηματικὸν θέμα. Οἱ χρόνοι οὗτοι λέγονται δεύτεροι.

Ἀφωνόληκτά τινα ῥήματα ἔχουσι καὶ δευτέρους χρόνους· ἀόρ. β΄ ἐνεργητικόν, μέσον καὶ παθητικόν, παρκ. β΄ καὶ παθ. μέλλ. β΄.

Ἐν τῷ β΄ παρκ. τὸ θεματικὸν ε τρέπεται εἰς ο, καὶ τὸ ει εἰς οι.

1. Ὁ ἀόρ. β΄ ἐνεργ. καὶ μέσ. σχηματίζεται ἐκ τοῦ ρηματικοῦ βραχέος θέματος καὶ ἔχει κατάληξιν τὴν τοῦ παρτ. ον, ες, ε κλ., ομην, ου, ετο κλ., τύπτω· θ. τυπ-, ἔτυπ-ον, ἐτυπ όμην.

Ῥημάτων τινῶν τὸ ριζικὸν φωνῆεν ε τρέπεται εἰς α· τρέπ-ω, ἔτραπον, ἐτραπόμην.

2. Ὁ παθ ἀόρ. β΄ ἔχει κατάληξιν **-ην, -ης, η** κλ. (δηλ. τοῦ παθ. ἀορ. α΄ ἄνευ θ-), ὁ παθ. μέλ. β΄ **-ήσομαι, -ήσῃ, ήσεται,** (δηλ. τοῦ παθ. μέλ. α΄ ἄνευ θ-) καὶ σχηματίζονται ἐκ τοῦ ρηματικοῦ βραχέος θέματος ἢ ἄνευ τινὸς μεταβολῆς ἢ μεταβαλλομένου τοῦ ριζ. φωνήεντος ε εἰς ᾰ, τοῦ ῑ εἰς ῐ, τοῦ η εἰς ᾰ.

βλάπτω (θ. βλαβ.) ἐβλάβ-ην, βλαβήσομαι
τρέφω (θ. τρεφ-) ἐτράφ ην, τραφήσομαι
ῥίπτω (θ. ριφ-) ἐρρίφην
σήπω (θ. σαπ-) ἐσάπην.

3. Ὁ παρκ. β΄ ἔχει κατάληξιν α, ας, ε κλ., φεύγω, πέφευγα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 160. Ρήματα ἀφωνόληκτα μετὰ δευτέρων χρόνων.

| Ἐνεστὼς | Θέμα | ἀόρ. β' ἐνερ. καὶ μ. | παρακ. β' ἐνεργητ. | ἀόρ. β' παθητικὸς | μέλλ. β' παθητικὸς |
|---|---|---|---|---|---|
| ἄγω | ἀγ- | ἤγαγον<br>ἠγαγόμην | | | |
| τίκτω | τεκ- | ἔτεκον | τέτοκα | | |
| φεύγω | φυγ- | ἔφυγον | πέφευγα | | |
| λείπω | λιπ- | ἔλιπον | λέλοιπα | | |
| πείθω | πιθ | ἔπιθον | πέποιθα | | |
| ἀνα-κράζω | κραγ- | ἀνέκραγον | | | |
| πέμπω | πεμπ- | | πέπομφα | | |
| κλέπτω | κλεπ- | | κέκλοφα | ἐκλάπην | |
| στρέφω | στρεφ- | | ἔστροφα | ἐστράφην | στραφήσομαι |
| τρέπω | τρεπ- | ἐτραπόμην | | ἐτράπην | |
| τρέφω | τρεφ- | | τέτροφα | ἐτράφην | |
| πλέκω | πλεκ- | | | ἐπλάκην | |
| κόπτω | κοπ- | | κέκοφα | ἐκόπην | κοπήσομαι |
| συλλέγω | λεγ- | | συνείλοχα | συνελέγην | συλλεγήσομαι |
| τρίβω | τριβ- | | τέτριβα | ἐτρίβην | τριβήσομαι |
| ῥίπτω | ῥιφ- | | | ἐῤῥίφην | |
| βλάπτω | βλαβ- | | | ἐβλάβην | βλαβήσομαι |
| γράφω | γραφ- | | | ἐγράφην | γραφήσομαι |
| σκάπτω | σκαφ- | | | ἐσκάφην | σκαφήσομαι |
| θάπτω | ταφ- | | | ἐτάφην | ταφήσομαι |
| σφάττω | σφαγ- | | | ἐσφάγην | σφαγήσομαι |
| ἀλλάττω | ἀλλαγ- | | | ἠλλάγην | ἀλλαγήσομαι |
| πλήττω | πληγ- | | | ἐπλήγην | πληγήσομαι |
| | πληγ-καὶ | | | ἐξεπλάγην | ἐκπλαγήσομαι |
| ἐκπλήττω | πλαγ- | | | κατεπλάγην | |
| σήπω | σαπ- | | σέσηπα | ἐσάπην | σαπήσομαι |
| τήκω | τακ- | | τέτηκα | ἐτάκην | τακήσομαι |

Σημ. Ἐξ ἀνωμάλων ῥημάτων ἀόρ. β'.

| | | | | | |
|---|---|---|---|---|---|
| ἔρχομαι | | ἦλθον | ἐλ-ήλυθα | | |
| ὁρῶ | | εἶδον | | | |
| λαμβάνω | | ἔλαβον | | | |
| μανθάνω | | ἔμαθον | | | |
| εὑρίσκω | | εὗρον | | | |
| λέγω .. | | εἶπον | | | |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 161. Κλίσις ἀορ. β' καὶ παθ. μέλλ. β'.

Ἀόρ. β'. 1. Ἐνεργητικὴ φωνή.

| Ὁριστικ. | Ὑποτακτ. | Εὐκτική | Προστακ | Ἀπαρέμ. | Μετοχή |
|---|---|---|---|---|---|
| ἔλιπον | λίπω | λίποιμι | λίπε | λιπεῖν | λιπὼν |
| ἔλιπες κλπ. | λίπῃς κτλ. | λίποις | λιπέτω | | λιποῦσα |
| ὡς ὁ παρατ. | ὡς ὁ ἐνεστ. | ὡς ὁ ἐνεστ. | | | λιπὸν |

2. Μέση φωνή.

| | | | | | |
|---|---|---|---|---|---|
| ἐλιπόμην | λίπωμαι | λιποίμην | λιποῦ | λιπέσθαι | λιπόμενος |
| ἐλίπου κτλ. | λίπῃ | λίποιο | λιπέσθω | | -μένη |
| ὡς ὁ παρατ. | κλ. ὡς οἱ ἐνεστῶτες | | | | -μενον |

3. Παθητικὴ φωνή.

Ὁ παθ. ἀόρ. β' σχηματίζεται ὡς ὁ παθητ. ἀόρ. α', ἀλλ' ἄνευ θ, ἐστράφην.

| | | | | | |
|---|---|---|---|---|---|
| ἐστράφην | στραφῶ | στραφ-είην | στράφ-ηθι | στραφῆναι | στραφείς |
| ἐστράφης | στραφῇς | στραφ-είης | στραφ-ήτω | | στραφεῖσα |
| κλ. | κλ. | κλ. | κλ. | | στραφέν |

Παθ. μέλλ. β' σχηματίζεται ὡς ὁ παθ. μέλλ. α', ἀλλ' ἄνευ θ.

| | | | | | |
|---|---|---|---|---|---|
| στραφήσομαι | | στραφησοίμην | | στραφήσεσθαι | στραφησόμενος |
| στραφήσῃ | | στραφήσοιο | | | -μένη |
| κλ. | | κλ. | | | -μενον |

## 162. Τονισμὸς τοῦ ἀορίστου β'.

1. Ὁ ἐνεργητικὸς ἀόριστος β' τῆς προστακτικῆς δέχεται τὸν τόνον ἐπὶ τῆς ῥιζικῆς συλλαβῆς, πλὴν τοῦ ἐλθέ, εὑρέ, εἰπέ, ἰδέ, λαβέ, ἀλλ' οὐχὶ καὶ ἐν τοῖς συνθέτοις· ἔξελθε, ἄπελθε, ἔξευρε, ἄπειπε, ἔξειπε, κάτιδε, παράλαβε.

2. Ὁ παθητικὸς ἀόριστος β' τῆς προστακτικῆς τονίζεται ἐπὶ τῆς ληγούσης, ἱκοῦ, τραποῦ· ὁμοίως καὶ ἐν συνθέσει, περιγενοῦ, παραλιποῦ· ἀλλ' αἱ μονοσύλλαβοι προστακτικαὶ συντιθέμεναι μετὰ δισυλλάβου προθέσεως, μὴ πασχούσης ἔκθλιψιν, ἀναβιβάζουσι τὸν τόνον· οἷον σχοῦ παράσχου, σποῦ ἐπίσπου.

Σημ. περὶ τονισμῶν τῶν ῥημάτων πρβλ. § 166.

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** Ἐδάρητε, ἔτεκε, πεπόμφαμεν, τραπῶμεν, συνεπλάκησαν, ἀπαλλαγησόμεθα, συναγά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γοιτε, πεποιθώς, λιπεῖν, ἄγαγε, ἐσάπησαν, πεφευγώς, βλαβησόμεθα, ἀπεγράφητε, ἐξεύρετε.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1) Κόρινθος ὑπὸ Ρωμαίων κατεσκάφη. 2) Τῇ τοῦ Θεμιστοκλέους γνώμῃ πεποιθότες οἱ Ἀθηναῖοι τὴν πόλιν κατελελοίπεσαν καὶ εἰς τὰς ναῦς ἀπεπεφεύγεσαν. 3) Σόλων ἐπὶ σοφίᾳ δόξαν ἀπέλιπεν. 4) Ἔργον τὴν λύπην ἐκφυγεῖν. 5) Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν. 6) Χάρις χάριν ἔτεκεν. 7) Ἀποφύγοιτε τὸν φθόνον. 8) Ποῖ τράπωμαι, ὦ παῖ, ποῖ καταφύγω. 9) Ἐτράφημεν παρ' αὐτοῖς. 10) Οἱ ἵπποι κατεπλάγησαν ἐπὶ τῇ θέᾳ τῶν καμήλων. 11) Οἱ Ἕλληνες τὸ πάλαι ἐτράποντο εἰς λῃστείαν. 12) Βασιλεὺς ἡγεῖτο νικᾶν, ἐπεὶ Κῦρον ἀπέκτονε.

### β'. **Σχηματισμὸς τῶν ὑγρολήκτων καὶ ἐνρινολήκτων** (λ. μ. ν. ρ.)

163. α'. Ὁ μέλλων ἐνεργ. καὶ μέσος τῶν ὑγρολήκτων καὶ ἐνρινολήκτων ῥημάτων σχηματίζεται συνῃρημένως (ὡς ὁ τελέω τελῶ § 151, 1)· ἀμύν-ω, (ἀμυν-έ-σω, ἀμυνέω) ἀμυνῶ, -εῖς, -εῖ κλ. (ἀμυν-έσομαι, ἀμυν-έ-ομαι) ἀμυνοῦμαι, -εῖ, -εῖται κλ., οὕτω νεμῶ, -εῖς, εῖ κλ. νεμοῦμαι, -εῖ, -εῖται κλ.

164. β'. Ὁ ἀόριστος α' ἐνεργ. καὶ μέσος τῶν ὑγρολήκτων καὶ ἐνρινολήκτων ῥημάτων μετὰ τὴν ἔκπτωσιν τοῦ χρονικοῦ χαρακτῆρος σ, ἐκτείνει τὸ θεματικὸν φωνῆεν· τὸ ῐ εἰς ῑ, τὸ ῠ εἰς ῡ, τὸ α εἰς η· ἀλλὰ τὸ α πρὸ τοῦ ι καὶ ρ εἰς ᾱ, καὶ τὸ ε εἰς ει.

| | | | | |
|---|---|---|---|---|
| κρίνω | ἔ-κρῖνα | — | ἀμύνω | ἤμῡνα |
| φαίνω | ἔ-φηνα | — | σφάλλω | ἔσφηλα |
| μιαίνω, | ἐμίᾱνα | — | περαίνω | ἐπέρᾱνα |
| ἀγγέλλω | ἤγγειλα | — | νέμω | ἔνειμα. |

Κατ' ἀναλογίαν σχηματίζουσι τὸν ἀόρ. καὶ τὰ κερδαίνω, λευκαίνω, κοιλαίνω, πεπαίνω, ὀργαίνω, λιπαίνω, γλυκαίνω, ἰσχναίνω, ἀόρ. ἐκέρδανα κλ., καὶ τὸ αἴρω, ἀόρ. ὁρ. ἦρα μετ' αὐξήσεως, ἀλλὰ ὑπ. ἄρω, ἀπ. ἆραι, προστ. ἆρον.

165. γ'. Οἱ ἄλλοι χρόνοι τῶν ὑγρολήκτων καὶ ἐνρινολήκτων.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

α'. Ὁ ἐνεστὼς σχηματίζεται

1. Ἄνευ οὐδεμιᾶς μεταβολῆς τοῦ ρηματικοῦ θέματος· νέμω, θ. νεμ-, μένω, θ. μεν-, δέρω, θ. δερ-, θέλω, θ. θελ- (μόνον αὐτὸ ἐκ τῶν εἰς λω μὲ ἓν λ).

2. Διὰ διπλασιασμοῦ τοῦ λ· βαλ-, βάλλω (§ 199)· τὰ λλ φυλάττονται ἐν τῷ ἐνεστ. μόνον καὶ παρατ.

3. Δι' ἐκτάσεως τοῦ α εἰς αι, τοῦ ε εἰς ει, τοῦ ῐ καὶ ῠ, εἰς ῑ καὶ ῡ, ἐὰν τὸ θέμα λήγῃ εἰς ν ἢ ρ.

| | | | |
|---|---|---|---|
| (φαν-) | φαίνω, | (καθαρ-) | καθαίρω |
| (κτεν-) | κτείνω, | (φθερ-) | φθείρω |
| (κριν-) | (κρίνω) | (ἀμυν-) | ἀμύνω. |

Σημ. Τὸ ὀφείλω ἐσχηματίσθη κατὰ τὰ ἔχοντα θέμα εἰς ν καὶ ρ.

β'. Ὁ παρκ. ἐνεργ. καὶ μέσος, παθ. ἀόρ. καὶ παθ. μέλλων σχηματίζονται ἐκ τοῦ ρηματικοῦ θέματος· καὶ

1) Τὸ λ καὶ ρ φυλάττεται πρὸ τῆς ἀπὸ συμφώνου ἀρχομένης καταλήξεως· τῆς σθ καταλήξεως τὸ σ μεταξὺ δύο συμφώνων κείμενον ἐκπίπτει.

2) τὸ ν πρὸ τοῦ κ γίνεται γ, καὶ πρὸ τοῦ μ ἀφομοιοῦται ἢ τρέπεται εἰς σ καὶ πρὸ τοῦ σαι, σο φυλάττεται.

3) τὸ ε τοῦ μονοσυλλάβου ρηματικοῦ θέματος γίνεται α εἰς τὸν παρκ. (ἐνεργ. καὶ παθητ.), ἀόρ. β' παθ., εἰς δὲ τὸν β' παρκ. τρέπεται εἰς ο.

| | | | | |
|---|---|---|---|---|
| 1. | ἤγγελμαι | ἔσπαρμαι | ἤγγελσο | ἔσπαρσο |
| | ἤγγελσαι κλ. | ἔσπαρσαι | ἠγγέλθω | ἐσπάρθω |
| | (ἠγγέλ-σθαι) | ἠγγέλθαι | (ἤγγελ-σθε) | ἤγγελθε |
| 2) | (πέφαν-κα) | πέφαγ-κα | (σεσήμαν-κα) | σεσήμαγ-κα |
| | (ἤσχυν-μαι) | ἤσχυμ-μαι | (ἐξήραν-μαι) | ἐξήραμ-μαι |
| | (πέφαν-μαι) | πέφασ-μαι | πέφανσαι | πέφανσο |

| | | | | | |
|---|---|---|---|---|---|
| 3. | σπείρω (θ. σπερ-) | ἔσπαρκα | ἔσπαρμαι | ἐσπάρην | σπαρήσομαι |
| | φθείρω (θ. φθερ-) | ἔφθαρκα | ἔφθαρμαι | ἐφθάρην | φθαρήσομαι |
| | στέλλω (θ. στελ-) | ἔσταλκα | ἔσταλμαι | ἐστάλην | σταλήσομαι |
| 3. | τείνω (θ. τεν-) | τέτακα | τέταμαι | ἐτάθην | ταθήσομαι |

σπείρω (θ. σπερ-) β' πρκ. ἔσπορα

φθείρω (θ. φθερ-) β' πρκ. ἔφθορα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σημ. 1. Τὸ μένω καὶ νέμω σχηματίζουσι τὸν παρκ. ἐκ θ. μενε-, νεμε-, μεμένηκα, νενέμηκα.

Σημ. 2. Τὸ βάλλω, κάμνω, τέμνω καὶ στέλλω σχηματίζουσι τὸν πρκ. καὶ ὑπερ. ἐκ. θ. βλα-, κμα-, τμα-, σκλα-, οὕτω·

| | | | |
|---|---|---|---|
| βέβληκα, | βέβλημαι, | τέτμηκα | τέτμημαι |
| ἐβεβλήκειν, | ἐβεβλήμην, | ἐτετμήκειν, | ἐτετμήμην, |
| κέκμηκα, | ἐκεκμήκειν, | ἔσκληκα, | ἐσκλήκειν. |

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** πεφήναμεν, ἐφθάρησαν, πέφανται, ἐσπάρην, ἠμυνάμεθα, ἐξηραμμένος, κρινοῦμεν, νεμοῦμαι, τεταμένος, ἐσημάνθην, σεσημασμένος, καθαρεῖς, ἀπέκτονε, ἀπέκτεινεν, ἐσφάλην, ἔσφαλμαι, ἔστειλα, ἀπεσταλμένος, ἐδάρην, δαρείς, ἐμίανας, περανῶ, πεπερασμένος, κεκαθαρμένος, ἀράτω.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1) Τίς ἄμεινον τοῦ σοφοῦ κρινεῖ τὰ δίκαια. 2) Τὸ ὕδωρ φθερεῖ τὸ πεδίον. 3) Οὐκ αἰσχυνεῖται ὁ σώφρων παρ' ἄλλου ἐκμανθάνων. 4) Ὀργῆς ἀπεχόμενος κερδανεῖς, μὴ ἀπεχόμενος μωρανεῖς. 5) Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερά, ἀμυνῶ ὑπὲρ ἱερῶν καὶ ὁσίων. 6) Λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν. 7) Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται. 8) Πῦρ ἱματίῳ περιστεῖλαι ἀδύνατον. 9) Χαλεπὸν διακρῖναι τὸν φίλον.

105. **Τονισμὸς τῶν ῥημάτων.**

α'. 1. Τὸ β' ἑνικ. πρόσ. τοῦ μέσου ἀορ. α' τῆς προστακτικῆς, ὅταν εἶναι πολυσύλλαβον, τονίζεται ἐπὶ τῆς προπαραληγούσης.

2. Τὸ γ' ἑνικ. πρόσ. τοῦ ἐνεργ. ἀορ. α' τῆς εὐκτ. παροξύνεται, διότι τὸ αι εἶναι μακρόν.

3) Ὁ ἐνεργ. ἀόρ. α' τῆς ἀπαρεμφάτου περισπᾶται, ἐὰν ἡ παραλήγουσα εἶναι μακρά.

Σημ. Οἱ τρεῖς οὗτοι τύποι διακρίνονται ἐκ τοῦ τόνου, ἀλλ' οὐχὶ καὶ ἐπὶ τῶν δισυλλάβων ῥημάτων, τὰ ὁποῖα ἔχουσι τὴν παραλήγουσαν βραχεῖαν.

| | | | |
|---|---|---|---|
| Οὕτω προστ. παίδευσαι | εὐκτ. παιδεύσαι, | ἀπαρ. παιδεῦσαι | |
| » ἀπόλυσαι | » ἀπολύσαι | » ἀπολῦσαι | |
| ἀλλὰ » λῦσαι | » λύσαι | » λῦσαι | |
| » γράψαι | » γράψαι | » γράψαι. | |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

β΄. Τῆς μετοχῆς

1. Παροξύνεται ὁ ἐνεργ. ἀόρ. α΄ καὶ ὁ παθ. παρκ. τιμήσας, γράψας, λελυμένος.

2. Ὀξύνεται ὁ ἐνεργ. ἀόρ. β΄ τῶν βαρυτόνων καὶ αἱ εἰς -ὼς καὶ -εὶς μετοχαί· λαβών, τυχών, γεγραφώς, ποιηθείς.

γ΄. Τῆς ἀπαρεμφάτου ὁ ἐνεργ. ἀόρ. β΄ τῶν βαρυτόνων περισπᾶται· τυχεῖν, μαθεῖν, λαβεῖν.

δ΄. Τῆς ἀπαρεμφάτου ὁ παθ. παρκ. τονίζεται ἐπὶ τῆς παραληγούσης.

λελύσθαι (ῠ), γεγράφθαι (ᾰ),
πεποιῆσθαι, τετιμῆσθαι, δεδουλῶσθαι.

ε΄. Περὶ τονισμοῦ ἀόρ. β΄ πρβ. § 162.

ς΄. Τὰ χρονικῶς αὐξάνοντα τονίζονται ἐπὶ τῆς χρονικῆς αὐξήσεως, ἐὰν ἡ λήγουσα ἐπιτρέπῃ τοῦτο, ἀπεῖχον, ἀπήγαγον, ἀπήρεικα, παρήρχετο.

## ΙΙ΄. Συζυγία τῶν εἰς μι.[1]

167. Ἡ τῶν εἰς -μι συζυγία γίνεται

α΄) Ἐκ φωνηεντολήκτου θέματος, ἢ

β΄) Ἐκ συμφωνολήκτου.

168. Τὸ ρηματικὸν θέμα εἰς τὰ φωνηεντόληκτα εἶναι μακρόν, η, ω, ῡ· ἢ βραχύ, α, ε, ο, υ.

Ἐκ τοῦ μακροῦ σχηματίζονται 1) τὰ ἑνικὰ τοῦ ἐνεστ. τῆς ὁριστ. τῆς ἐνεργ. φωνῆς, ἡ ὑποτακτικὴ καὶ 2) ὁ ἀόρ. β΄ πανταχοῦ, πλὴν ἐν τῇ εὐκτ. καὶ καὶ πρὸ τοῦ -ντ.

Ἐκ δὲ τοῦ βραχέος τὰ λοιπά.

Ἐνεστ. τίθη-μι, δίδω-μι, ἵστη-μι, δείκνῡ-μι
πλ. τίθε-μεν, δίδο-μεν, ἵστα-μεν, δείκνῠ-μεν.
ἀόρ. β΄ ἔστην, ἀλλὰ ἱστα-ίη-ν, στα-ίην,
στάντες, θέντες, δόντες.

---

[1] Ἡ Ν. Ἑλληνικὴ τὰ εἰς μι ρήματα δὲν ἔχει, ἐκφέρει δὲ ταῦτα παρενθέτουσα ν ἢ ἄλλως κατὰ τὰ εἰς ω βαρύτονα· οὕτω στήνω, δίνω, δώνω καὶ δίδω, θέτω, σβύνω, ζεύγω καὶ ζευγνύω, δείχνω καὶ δεικνύω καὶ κατὰ τὰ συνῃρημένα κρεμῶ, κερνῶ καὶ κιρνῶ, πετῶ, στρώνω, ζώνω κλπ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

169. Καταλήξεις γενικῶς μὲν ἔχει ἡ συζ. τῶν εἰς μι τὰς ἐν § 148, εἰδικῶς δὲ ἐν τῇ ἐνεργητικῇ φωνῇ τὰς ἑπομένας·

α'. Ἐν τῷ ἐνεστ. τῆς ὁριστ. ἐν τῷ ἑνικῷ -μι, -ς, -σι καὶ ἐν τῷ πληθ. ᾶσι (ἐκ τοῦ ανσι).

β'. Ἡ εὐκτικὴ σχηματίζεται διὰ τῆς συλλαβῆς -ιη, ὡς ἡ τῶν συνῃρημένων ρημ. καὶ ὁ παθ. ἀόρ. α' τῶν εἰς ω ρημάτων.

καὶ ἐν τῷ δυϊκῷ καὶ πληθ. διὰ τοῦ ι·

τὸ ι ἑνοῦται μετὰ τοῦ θεματικοῦ φωνήεντος καὶ τονίζεται.

γ'. Ἡ ἀπαρέμφατος ἔχει ἐν τῇ ἐνεργ. φωνῇ κατάληξιν -ναι καὶ ἐν μὲν τῷ ἐνεστ. προστίθεται εἰς τὸ βραχὺ θέμα, ἐν δὲ τῷ ἀορ. β' εἰς τὸ μακρόν, ἱστάναι, στῆναι.

δ'. Τὸ 3 πληθ. τοῦ παρτ. καὶ ἀορ. β' ἔχει κατάληξιν -σαν.

ε'. Ἡ κατάληξις -σαι καὶ σο τοῦ 2 ἑνικ. προσ. τῆς μέσης φωνῆς δὲν ἀποβάλλει τὸ σ- ἐν τῷ ἐνεστ. καὶ παρτ.

ς'. Τῆς προστακτικῆς τὸ 2 ἑνικ. πρόσ. σχηματίζεται ἐν μὲν τῷ ἐνεστῶτι τῆς ἐνεργ. κατὰ τὰ συνῃρημένα (τίθει, ἵστη, δίδου, δείκνῡ), ἐν δὲ τῷ ἀορ. β' τοῦ μὲν τίθημι, δίδωμι εἰς -ς· -θές, δός, ἕς (ἵημι) καὶ εἰς θι, στῆθι.

ζ'. Ὁ ἐνεργ. παρατ. τοῦ τίθημι, ἵημι, δίδωμι, δείκνυμι ἐν τῷ ἑνκ. ἔχει καὶ ἄλλον τύπον κατὰ τὰ εἰς ω· ἐτίθουν (ἐτίθεον), ἐδίδουν (ἐδίδοον). Τὸν τύπον τοῦτον τὸ δίδωμι καὶ τίθημι ἔχει ἐν τῷ 2 καὶ 3 ἑνικῷ προσώπῳ.

170. Τῶν εἰς μι ρημάτων·

α'. Τὰ ἐκ φωνηεντολήκτου θέματος λαμβάνουσιν ἐν ἀρχῇ ἀναδιπλασιασμὸν διὰ τοῦ ι ἐν τῷ ἐνεστῶτι, ἐν τέλει δὲ τὰς προσωπικὰς καταλήξεις (§ 169, α'), θ. θη-, τί-θη-μι, θ. δω-, δί-δω-μι, θ. στη-, ἵστημι (ἐκ τοῦ σί-στημι).

β'. Τὰ ἐκ συμφωνολήκτου θέματος ἐπαυξάνονται διὰ -νυ· δείκνυ-μι.

Ἐὰν τὸ -νυ προστεθῇ εἰς θέμα λῆγον εἰς -σ (σιγμόληκτον), τὸ σ ἀφομοιοῦται πρὸς τὸ ν· ὅθεν ὁ ἐνεστ. λήγει εἰς ν-νυμι· θ. σβεσ-, σβέν-νυμι. θ. ρωσ-, ρών-νυμι.

Τὸ ὄλ-λυμι ἔγεινε κατ' ἀφομοίωσιν τοῦ ν εἰς λ (ὄλ-νυμι) ὄλ-λυμι·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 171 α΄. Ἐνεργη-

## Ἐνεστώς, Παρατατικός.

| | | | | | |
|---|---|---|---|---|---|
| Ὁριστικὴ ἐνεστῶτος | ἑν. | τί-θη-μι | ἵ-η-μι | δί-δω-μι | ἵ-στη-μι |
| | | τί-θη-ς | ἵ-η-ς | δί-δω-ς | ἵ-στη-ς |
| | | τί-θη-σι(ν) | ἵ-η-σι(ν) | δί-δω-σι(ν) | ἵ-στη-σι(ν) |
| | δυϊ. | τί-θε-τον | ἵ-ε-τον | δί-δο-τον | ἵ-στα-τον |
| | | τί-θε-τον | ἵ-ε-τον | δί-δο-τον | ἵ-στα-τον |
| | πλ. | τί-θε-μεν | ἵ-ε-μεν | δί-δο-μεν | ἵ-στα-μεν |
| | | τί-θε-τε | ἵ-ε-τε | δί-δο-τε | ἵ-στα-τε |
| | | τι-θέ-ασι(ν) | ἱ-ᾶσι(ν) [συναιρ.] | δι-δό ασι(ν) | ἱ-στᾶ-σι(ν) [συνηρ.] |
| Παρατατικός | ἑν. | ἐ-τί-θη-ν | ἵ-ειν ἀνωμάλως | ἐ-δί-δουν κατὰ τὰ | ἵ-στη-ν |
| | | ἐ-τί-θεις κατὰ τὰ | ἵ-εις καὶ κατὰ τὰ | ἐ-δί-δους συνηρημ. | ἵ-στη-ς |
| | | ἐ-τί-θει συνηρημένα | ἵ-ει συνηρημ. | ἐ-δί-δου | ἵ-στη |
| | δυϊ. | ἐ-τί-θε-τον | ἵ-ε-τον | ἐ-δί-δο-τον | ἵ-στα-τον |
| | | ἐ-τι-θέ-την | ἱ-έ-την | ἐ-δι-δό-την | ἱ-στά-την |
| | πλ. | ἐ-τί-θε-μεν | ἵ-ε-μεν | ἐ-δί-δο-μεν | ἵ-στα-μεν |
| | | ἐ-τί-θε-τε | ἵ-ε-τε | ἐ-δί-δο-τε | ἵ-στα-τε |
| | | ἐ-τί-θε-σαν | ἵ-ε-σαν | ἐ-δί-δο-σαν | ἵ-στα-σαν |
| Ὑποτακτική | ἑν. | τι-θῶ (συνηρ. ἐκ τοῦ | ἱ-ῶ (συνηρ. ἐκ | δι-δῶ (συνηρημ. ἐκ | ἱ-στῶ (συνηρ. ἐκ τοῦ |
| | | τι-θῇς [τιθέω) | ἱ-ῇς τοῦ ἱέω) | δι-δῷς τοῦ διδώ-ω) | ἱ-στῇς ἱ-στή-ω) |
| | | τι-θῇ | ἱ-ῇ | δι-δῷ | ἱ-στῇ |
| | δυϊ. | τι-θῆ-τον | ἱ-ῆ-τον | δι-δῶ-τον | ἱ-στῆ-τον |
| | | τι-θῆ-τον | ἱ-ῆ-τον | δι-δῶ-τον | ἱ-στῆ-τον |
| | πλ. | τι-θῶ-μεν | ἱ-ῶ-μεν | δι-δῶ-μεν | ἱ-στῶ-μεν |
| | | τι-θῆ-τε | ἱ-ῆ-τε | δι-δῶ-τε | ἱ-στῆ-τε |
| | | τι-θῶ-σιν | ἱ-ῶ-σι(ν) | δι-δῶ-σιν | ἱ-στῶ-σι(ν) |
| Εὐκτική | ἑν. | τι-θε-ίη-ν | ἱ-ε ίη-ν | δι-δο-ίη-ν | ἱ-στα-ίη-ν |
| | | τι-θε-ίη-ς | ἱ-ε-ίη-ς | δι-δο-ίη-ς | ἱ-στα-ίη-ς |
| | | τι-θε-ίη | ἱ-ε-ίη | δι-δο-ίη | ἱ-στα-ίη |
| | δυϊ. | τι θε-ίη-τον τιθεῖτον | ἱ-ε-ίη-τον ἱεῖτον | δι-δο-ίη τον διδοῖτον | ἱ-στα-ίη-τον |
| | | τι-θε-ιή-την τιθείτην | ἱ-ε-ιή-την ἱείτην | δι-δο-ιή-την διδοίτην | ἱ-στα-ιή-την |
| | πλ. | τι-θε-ίη-μεν τιθεῖμεν | ἱ-ε-ίη-μεν ἱεῖμεν | δι-δο-ίη-μεν διδοῖμεν | ἱ-στα-ίη-μεν ἱσταῖμεν |
| | | τι-θε-ίη-τε τιθεῖτε | ἱ-ε-ίη-τε ἱεῖτε | δι-δο-ίη-τε διδοῖτε | ἱ-στα-ίητε ἱσταῖτε |
| | | τι-θε-ίη-σαν τιθεῖεν | ἱ-ε-ίη-σαν ἱεῖεν | δι-δο-ίη-σαν διδοῖεν | ἱ-στα-ίη-σαν ἱσταῖεν |
| Προστακτική | ἑν. | τί-θει (κατὰ τὰ συνη- | ἵ-ει (κατὰ τὰ | δί-δου (κατὰ τὰ | ἵ-στη (κατὰ τὰ |
| | | τι-θέ-τω ρημένα) | ἱ-έ-τω συνηρ.) | δι-δό-τω συνηρημ.) | ἱ-στά-τω συνηρημ.) |
| | | τί-θε-τον | ἵ-ε-τον | δί-δο τον | ἵ-στα-τον |
| | δυϊ. | τι-θέ-των | ἱ-έ-των | δι-δό-των | ἱ-στά-των |
| | | τί-θε-τε | ἵ-ε-τε | δί-δο-τε | ἵ-στα-τε |
| | πλ. | τι-θέ-ντων καὶ | ἱ-έ-ντων καὶ | δι-δό-ντων καὶ | ἱ-στά-ντων καὶ |
| | | τι-θέ-τωσαν | ἱ-έ-τωσαν | δι-δό-τωσαν | ἱ-στά-τωσαν |
| Ἀπαρ. | | τι-θέ-ναι | ἱ-έ-ναι | δι-δό-ναι | ἱ-στά-ναι |
| Μετοχ. | | τι-θεὶς τι-θέ-ντ-ος | ἱ-εὶς ἱ-έ-ντ-ος | δι-δοὺς δι-δό-ντ-ος | ἱ-στὰς ἱ-στά-ντ-ος |
| | | τι-θεῖσα τι-θείσης | ἱ-εῖ-σα ἱ-εί-σης | δι-δοῦσα δι-δούσης | ἱ-στᾶσα ἱ-στάσης |
| | | τι-θὲ-ν τι-θέ-ντ-ος | ἱ-έ-ν ἱ-έ-ντ-ος | δι-δὸ-ν δι-δό-ντ-ος | ἱ-στὰ-ν ἱ-στά-ντ-ος |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τικὴ φωνή.

## ἀόριστος β'.

| | | | ἔστην<br>ἄνευ συνδετικοῦ φω-<br>νήεντος ἀόρ.<br>§ 124 |
|---|---|---|---|
| Ἀόρ. α'. { ἔ-θη-κα, ἔ-θη-κας, ἔ-θη-κε(ν)<br>ἔ-θε-τον<br>ἐ-θέ-την<br>ἔ-θε-μεν<br>ἔ-θε-τε<br>ἔ-θε-σαν | Ἀόρ. α'. { ἧ-κα, ἧ-κα-ς, ἧ-κε(ν)<br>εἷ-τον<br>εἵ-την<br>εἷ-μεν<br>εἷ-τε<br>εἷ-σαν | Ἀόρ. α'. { ἔ-δω-κ-α, ἔ-δω-κ-α-ς, ἔ δω-κ-ε(ν)<br>ἔ-δο-τον<br>ἐ-δό-την<br>ἔ-δο-μεν<br>ἔ-δο-τε<br>ἔ-δο-σαν | ἔ-στη-ν<br>ἔ στη-ς<br>ἔ-στη<br>ἔ-στη-τον<br>ἐ-στή-την<br>ἔ-στη-μεν<br>ἔ-στη-τε<br>ἔ-στη-σαν<br>Τὸ συνδετ. φωνῆεν ὁ ἀόρ. β' ἔχει μακρὸν εἰς πάντας τοὺς τύπους τῆς ὁριστικῆς. |
| θῶ (συνηρ. ἐκ τοῦ θέ-ω)<br>θῇς<br>θῇ<br>θῆ-τον<br>θῆ-τον<br>θῶ-μεν<br>θῆ-τε<br>θῶ-σι(ν) | ὧ (συνηρ. ἐκ τοῦ ἕω)<br>ἧς<br>ἧ<br>ἧ-τον<br>ἧ-τον<br>ὧ-μεν<br>ἧ-τε<br>ὧ-σι(ν) | δῶ (συνηρ. ἐκ τοῦ δό-ω)<br>δῷς<br>δῷ<br>δῶ-τον<br>δῶ-τον<br>δῶ-μεν<br>δῶ-τε<br>δῶ-σι(ν) | στῶ (συνηρ. ἐκ τοῦ στήω)<br>στῇς<br>στῇ<br>στῆ-τον<br>στῆ-τον<br>στῶ-μεν<br>στῆ-τε<br>στῶ-σι(ν) |
| θε-ίην<br>θε-ίης<br>θε-ίη<br>θε-ίη-τον θεῖτον<br>θε-ιή-την θείτην<br>θε-ίη-μεν θεῖμεν<br>θε-ίη-τε θεῖτε<br>θε-ίη-σαν θεῖεν | ε-ἵη-ν<br>ε-ἵη-ς<br>ε-ἵη<br>ε-ἵη-τον εἷτον<br>ε-ἱή-την εἵτην<br>ε-ἵημεν εἷμεν<br>ε-ἵη-τε εἷτε<br>ε-ἵη-σαν εἷεν | δο-ίη-ν<br>δο-ίη-ς<br>δο-ίη<br>δο-ίη-τον δοῖτον<br>δο-ιή-την δοίτην<br>δο-ίη-μεν δοῖμεν<br>δο-ίη-τε δοῖτε<br>δο-ίη-σαν δοῖεν | στα-ίη-ν<br>στα-ίη-ς<br>στα-ίη<br>στα-ίη-τον σταῖτον<br>στα-ιή-την σταίτην<br>στα-ίη-μεν σταῖμεν<br>στα-ίη-τε σταῖτε<br>στα-ίη-σαν σταῖεν |
| θέ-ς (σύνθες, περίθες)<br>θέ-τω<br>θέ-τον<br>θέ-των<br>θέ-τε (σύνθετε, περί-<br>θέ-τωσαν θετε)<br>θέ-ντων | ἕ-ς (ἄφες)<br>ἕ-τω<br>ἕ-τον<br>ἕ-των<br>ἕ-τε<br>ἕ-ντων καὶ<br>ἕ-τωσαν | δό-ς (πρόδος, ἀπόδος)<br>δό-τω<br>δό-τον<br>δό-των<br>δό-τε (πρόδοτε, ἀπό-<br>δό-τωσαν δοτε)<br>δό-ντων | στῆ-θι<br>στή-τω<br>στῆ-τον<br>στή-των<br>στῆ-τε<br>στήτωσαν<br>στάντων<br>Τὸ θεματικὸν φωνῆεν ἔχει μακρὸν εἰς πάντας τοὺς τύπους προστ. ἢ ἀπαρ. ἐκτὸς πρὸ τοῦ ντ. |
| θεῖ-ναι | εἷ-ναι | δοῦ-ναι | στῆ-ναι |
| θείς θέ-ντ-ος<br>θεῖσα θείσης<br>θέ-ν θέ-ντ-ος | εἵς ἕντος<br>εἷσα εἵσης<br>ἕν ἕντος | δούς δό-ντ-ος<br>δοῦσα δούσης<br>δό-ν δό-ντ-ος | στάς στά-ντ-ος<br>στᾶσα στάσης<br>στά-ν στά-ντ-ος |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 172. Μέ-

## Ἐνεστώς, παρατατικός.

| | | | | | |
|---|---|---|---|---|---|
| Ὁριστικὴ Ἐνεστὼς | ἑν. | τί-θε-μαι | ἵ-ε-μαι | δί-δο-μαι | ἵ στα-μαι |
| | | τί-θε-σαι | ἵ-ε-σαι | δί-δο-σαι | ἵ-στα-σαι |
| | | τί-θε-ται | ἵ-ε-ται | δί-δο-ται | ἵ-στα-ται |
| | δυϊ. | τί θε-σθον | ἵ-ε-σθον | δί-δο-σθον | ἵστα-σθον |
| | | τί-θε-σθον | ἵ-ε-σθον | δί-δο-σθον | ἵ-στα-σθον |
| | πλ. | τι-θέ-μεθα | ἱ-έ-με-θα | δι-δό-μεθα | ἱ-στά-μεθα |
| | | τί-θε-σθε | ἵ-ε-σθε | δί-δο-σθε | ἵ-στα-σθε |
| | | τί-θε-νται | ἵ-εν-ται | δί-δο-νται | ἵ-στα-νται |
| Παρατατικὸς | ἑν. | ἐ-τι-θέ-μην | ἱ-έ-μην | ἐ-δι-δό-μην | ἱ-στά-μην |
| | | ἐ-τί-θε-σο | ἵ-ε-σο | ἐ-δί-δο-σο | ἵ-στα-σο |
| | | ἐ-τί-θε-το | ἵ-ε-το | ἐ-δί-δο-το | ἵ-στα-το |
| | δυϊ. | ἐ-τί-θε-σθον | ἵ-ε-σθον | ἐ-δί-δο-σθον | ἵ-στα-σθον |
| | | -ἐτι-θέ-σθην | ἱ-έ-σθην | ἐ-δι-δό-σθην | ἱ-στά-σθην |
| | πλ· | ἐ-τι-θέ-με-θα | ἱ-έ-μεθα | ἐ-δι-δό-μεθα | ἱ-στά-μεθα |
| | | ἐ-τί-θε-σθε | ἵ-ε-σθε | ἐ-δί-δο-σθε | ἵ-στα-σθε |
| | | ἐ-τί-θεν-το | ἵ-ε-ν-το | ἐ-δί-δο-ντο | ἵ-στα-ντο |
| Ὑποτακτικὴ | ἑν. | τι-θῶ-μαι (συ- | ἱ-ῶ-μαι (συνηρ.) | δι-δῶ-μαι (συ- | ἱ-στῶ-μαι (συνηρ.) |
| | | τι-θῇ νηρ.) | ἱ-ῇ | δι-δῷ νηρ.) | ἱ-στῇ |
| | | τι-θῆ-ται | ἱ-ῆ-ται | δι-δῶται | ἱ-στῆ-ται |
| | δυϊ. | τι-θῆ-σθον | ἱ-ῆ-σθον | δι-δῶ-σθον | ἱ-στῆ-σθον |
| | | τι θῆ-σθον | ἱ-ῆ-σθον | δι-δῶ-σθον | ἱ-στῆ-σθον |
| | πλ. | τι-θώ-με-θα | ἱ-ώ-μεθα | δι δώ-μεθα | ἱ-στώ-μεθα |
| | | τι-θῆ-σθε | ἱ-ῆ-σθε | δι-δῶ-σθε | ἱ-στῆ-σθε |
| | | τι-θῶ-νται | ἱ-ῶν-ται | δι-δῶ-νται | ἱ-στῶ-νται |
| Εὐκτικὴ | ἑν. | τι-θε-ί-μην | ἱ-ε-ί-μην | δι-δο-ί-μην | ἱ-στα-ί-μην |
| | | τι-θε-ῖ-ο | ἱ-ε-ῖ-ο | δι-δο-ῖ-ο | ἱ-στα-ῖ-ο |
| | | τι-θε-ῖ-το | ἱ-ε-ῖ-το | δι-δο-ῖ-το | ἱ-στα-ῖτο |
| | δυϊ. | τι-θε-ῖ-σθον | ἱ-ε-ῖ-σθον | δι-δο-ῖ-σθον | ἱ-στα-ῖ-σθον |
| | | τι-θε-ί-σθην | ἱ-ε-ί-σθην | δι-δο-ί-σθην | ἱ-στα-ί-σθην |
| | πλ. | τι-θε-ί-μεθα | ἱ-ε-ί-μεθα | δι-δο-ί-μεθα | ἱ-στα-ί-μεθα |
| | | τι-θε-ῖ-σθε | ἱ-ε-ῖ-σθε | δι-δο-ῖ-σθε | ἱ-στα-ῖ-σθε |
| | | τι-θε-ῖ-ντο | ἱ-ε-ῖ-ντο | δι-δο-ῖ-ντο | ἱ-στα-ῖ-ντο |
| Προστακτικὴ | ἑν. | τί-θε-σο | ἵ-ε-σο | δί-δο-σο | ἵ-στα-σο |
| | | τι-θέ-σθω | ἱ-έ-σθω | δι-δό-σθω | ἱ-στά-σθω |
| | δυϊ. | τί-θε-σθον | ἵ-ε-σθον | δί-δο-σθον | ἵ-στα-σθον |
| | | τι-θέ-σθων | ἱ-έ-σθων | δι-δό-σθων | ἱ-στά-σθων |
| | πλ. | τί-θε-σθε | ἵ-ε-σθε | δί-δο-σθε | ἵ-στα-σθε |
| | | τι-θέ-σθω-σαν | ἱ-έ-σθωσαν | δι-δό-σθωσαν | ἱ-στά-σθωσαν |
| | | τι-θέ-σθων | ἱ-έ-σθων | δι-δό-σθων | ἱ-στά-σθων |
| Ἀπαρ. | | τί-θε-σθαι | ἵ-ε-σθαι | δί-δο-σθαι | ἵ-στα-σθαι |
| Μετοχὴ | | τι-θέ-με-νος, η, ον | ἱ-έ-μενος η, ον | δι-δό-μενος, η, ον | ἱ-στά-μενος, η, ον, |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στη φωνή

## ἀόριστος β΄.

| | | | |
|---|---|---|---|
| | | | Ἀόρ. β΄ μέσος ἐλλείπει ἐκ τοῦ ἵστημι, ὡς παράδειγμα ἄνευ συνδετικοῦ φωνήεντος ἀόρ. β΄ μέσου ἐκ θέμ. εἰς -α κεῖται τὸ ἐπριάμην, οὗ ἐνεστ. ὠνοῦμαι. |
| ἐ-θέ-μην | εἵ-μην | ἐ-δό-μην | ἐ-πρι-άμην |
| ἔ-θου (συνῃρ.) | εἶ-σο (συνῃρ.) | ἔ-δου (συνῃρ.) | ἐπρί-ω (συνῃρ.) |
| ἔ-θε-το | εἶ-το | ἔ-δο-το | ἐ-πρία-το |
| ἔ-θε-σθον | εἶ-σθον | ἔ-δο-σθον | ἐ-πρίασθον |
| ἐ-θέ-σθην | εἵ-σθην | ἐ-δό-σθην | ἐ-πριά-σθην |
| ἐ-θέ-μεθα | εἵ-μεθα | ἐ-δό-μεθα | ἐ-πριά-μεθα |
| ἔ-θε-σθε | εἶ-σθε | ἔ-δο-σθε | ἐ-πρία-σθε |
| ἔ-θε-ντο | εἶ-ντο | ἔ-δο-ντο | ἐ-πρία-ντο |
| θῶ-μαι (συνῃρ.) | ὧ-μαι (συνῃρ.) | δῶ-μαι (συνῃρ.) | πρίω-μαι (συνῃρ.) |
| θῇ | ᾗ | δῷ | πρίῃ |
| θῆ-ται | ἧ-ται | δῶ-ται | πρίη-ται } Τονίζεται ἀνωμάλως ὡς τὸ δύναμαι, ἐπίσταμαι. |
| θῆ-σθον | ἧ-σθον | δῶ-σθον | πρίη-σθον |
| θῆ-σθον | ἧ-σθον | δῶ-σθον | πρίη-σθον |
| θώ-μεθα | ὥ-μεθα | δώ-μεθα | πριώ-μεθα |
| θῆ-σθε | ἧ-σθε | δῶ-σθε | πρίη-σθε |
| θῶ-νται | ὧ-νται | δῶν-τε | πρίω-νται |
| θε-ί-μην | ε-ἵ-μην | δο-ί-μην | πρια-ί-μην |
| θε-ῖ-ο | εἶ-σο | δο-ῖ-ο | πρία-ι-ο |
| θε-ῖ-το | ε-ἶ-το | δο-ῖ-το | πρία-ι-το |
| θε-ῖ-σθον | ε-ἶ-σθον | δο-ῖ-σθον | πρία-ι-σθον |
| θε-ί-σθην | ε-ἵ-σθην | δο-ί-σθην | πρια-ί-σθην |
| θε-ί-μεθα | ε-ἵ-μεθα | δο-ί-μεθα | πρια-ί-μεθα |
| θε-ῖ-σθε | ε-ἶ-σθε | δο-ῖ-σθε | πρία-ι-σθε |
| θε-ῖ-ντο | ε-ἶντο | δο-ῖ-ντο | πρί-α-ι-ντο |
| θοῦ (συνῃρ.) (προσθοῦ, ἀπόθου) | οὗ (συνῃρ.) (ἀφοῦ) | δοῦ (συνῃρ.) (ἀπόδου) | πρίω (συνῃρ.) |
| θέ-σθω | ἕ-σθω | δό-σθω | πριά-σθω |
| θέ-σθον | ἕ-σθον | δό-σθον | πρία-σθον |
| θέ-σθων | ἕ-σθων | δό-σθων | πριά-σθων |
| θέ-σθε (πρόθεσθε) | ἕ-σθε (ἄφεσθε) | δό-σθε (ἀπόδοσθε) | πρία-σθε |
| θέ-σθωσαν | ἕ-σθωσαν | δό-σθωσαν | πριά-σθωσαν |
| θέ-σθων | ἕ-σθων | δό-σθων | πριά-σθων |
| θέ-σθαι | ἕ-σθαι | δό-σθαι | πρία-σθαι |
| θέ-μενος, η, ον | ἕ-μενος, η, ον | δό-μενος, η, ον | πριά-μενος, η, ον |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 173. Παράδειγμα ῥήματος εἰς νυμι.

α΄. Σχηματισμὸς ἐνεστ. καὶ παρατ. ἐνεργ. καὶ μέσου.

| | | Ἐνεργητικόν | Μέσον (παθ.) |
|---|---|---|---|
| Ἐνεστὼς ὁριστικῆς | ἑν. | δείκνῡ μι | δείκνῠ-μαι |
| | | δείκνῡ-ς | δείκνῠ-σαι |
| | | δείκνῡ-σι | δείκνῠ-ται |
| | δυϊ. | δείκνῠ-τον | δείκνυ-σθον |
| | | δείκνῠ-τον | δείκνυ-σθον |
| | πλ. | δείκνῠ-μεν | δεικνύ-μεθα |
| | | δείκνῠ-τε | δείκνυ-σθε |
| | | δεικνῠ' ασι(ν) | δείκνυ-νται |
| Παρατατικός | ἑν. | ἐ δείκνῡ-ν | ἐ-δεικνύ-μην |
| | | ἐ-δείκνῡ-ς | ἐ-δείκνῠ-σο |
| | | ἐ δείκνῡ | ἐ-δείκνῠ-το |
| | δυϊ. | ἐ-δείκνῠ-τον | ἐ-δείκνυ-σθον |
| | | ἐ δεικνῠ'-την | ἐ-δεικνύ-σθην |
| | πλ. | ἐ-δείκνῠ-μεν | ἐ-δεικνύμεθα |
| | | ἐ-δείκνῠ-τε | ἐ-δείκνυ-σθε |
| | | ἐ-δείκνῠ-σαν | ἐ-δείκνυ-ντο |
| Ὑπτ. | ἑν. | δεικνύ-ω<br>δεικνύ-ῃς κλ. (ὁμαλῶς ὡς τὸ δεικνύω) | δεικνύ-ωμαι<br>δεικνύ-ῃ κλ. (ὁμαλῶς ὡς τὸ δεικνύω) |
| Εὐκτ. | ἑν. | δεικνύ-ο-ι-μι κλ.<br>δεικνύ-ο-ι-ς | δεικνυ-ο-ί-μην<br>δεικνύ-ο-ι-ο κλ. |
| Προστακτική | ἑν. | δείκνυ | δείκνυ-σο |
| | | δεικνύ-τω | δεικνύ-σθω |
| | δυϊ. | δείκνυ-τον | δείκνυ-σθον |
| | | δεικνύ-των | δεικνύ-σθων |
| | πλ. | δείκνυ-τε | δείκνυ-σθε |
| | | δεικνύ-τωσαν καὶ -ντων | δεικνύ-σθωσαν καὶ δεικνύσθων |
| Ἀπαρ. | | δεικνύ-ναι | δείκνυ-σθαι |
| Μετοχ. | | δεικνύς γεν. δεικνύ-ντος<br>δεικνῦ-σα » δεικνύ-σης<br>δεικνύν » δεικνύ-ντος | δεικνύ-μενος -μένη -μενον |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

174. Οἱ ἄλλοι χρόνοι τῶν εἰς μι.

α'. Οἱ ἄλλοι χρόνοι τῶν εἰς μι σχηματίζονται τῶν μὲν φωνηεντόληκτον θέμα ἐχόντων κατὰ τὰ εἰς άω, έω, όω, τῶν δὲ συμφωνόληκτον κατὰ τὰ εἰς ω συμφωνόληκτα.

| | | | | | |
|---|---|---|---|---|---|
| Μέλ. | ἐνεργητικὸς | θή-σω | δώ-σω | στή σω | δεί-ξω |
| | μέσος | θή-σομαι | δώ-σομαι | στή-σομαι | δεί-ξομαι |
| Ἀόρ. | ἐνεργητικὸς | ἔθη-κα | ἔδω-κα | ἔστη-σα | ἔδειξα |
| | μέσος | | | ἐστη-σάμην | ἐδειξάμην |
| Παρακείμ. | ἐνεργητικὸς | τέθεικα | δέδωκα | ἕστηκα | δέδειχα |
| | | καὶ τέθηκα | | (στήσας ἔχω) | |
| | μέσος | τέθειμαι | δέδομαι | ὑπρ. εἱστήκειν | δέδειγμαι |
| | παθητικὸς | κεῖμαι | | καὶ ἑστήκειν | |
| Ἀόρ. παθ. | | ἐ-τ-έθην | ἐ-δό-θην | ἐ-στά-θην | ἐδείχ-θην |
| Μέλλ. παθ. | | τε-θή-σομαι | δο-θήσομαι | στα-θήσομαι | δειχ-θήσομαι |

β'. Ὁ παρακείμενος ἕστηκα ἔχει τοὺς ἑπομένους τύπους.

Ὁριστ. πληθ. ἕσταμεν, ἕστατε, ἑστᾶσι(ν).

Ὑποτ. » ἑστῶμεν, ἑστῶσι(ν).

Ἀπαρ. » ἑστάναι

Μετοχ. » ἑστώς, ἑστῶσα, ἑστώς.

Ὑπερσ. 3 πλ. ἕστασαν.

175. Ἐκ τῶν εἰς-μι ῥημάτων ἀόρ. β' ἔχουσι μόνον τὰ τίθημι, δίδωμι, ἵστημι καὶ ἵημι. Οἱ ἀόρ. β' τοῦ τίθημι, δίδωμι καὶ ἵημι εἰς τὰ ἑνικὰ ἀναπληροῦνται ἐκ τῶν ἀορ. α' ἔθηκα, ἔδωκα καὶ ἧκα.

## Τονισμὸς τῶν εἰς μι ῥημάτων.

176. α'. Τῆς ἀπαρεμφάτου ὁ μὲν ἐνεστὼς παροξύνεται, ὁ δὲ ἀόρ. β' προπερισπᾶται· ἱστάναι, τιθέναι, διδόναι, δεικνύναι, θεῖναι, στῆναι, δοῦναι.

β'. Πάντες οἱ τύποι τοῦ ἐνεστ. καὶ ἀορ. β' τῆς εὐκτικῆς τονίζονται ἐπὶ τοῦ ι (§ 109, β)· ἱσταίην, ἱσταίμην, τιθείην, διδοίην, διδοίημεν, διδοῖεν.

γ'. Ὁ ἐνεργ. ἀόρ. β' τῆς προστ. ἐν συνθέσει ἀναβιβάζει τὸν τόνον ἐπὶ τῆς τονιζομένης συλλαβῆς τῆς προθέσεως· ἀνάστηθι, πρόσθεν, συνέκδος, παρένθες.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ'. Ὁ μέσος ἀόρ. β' τῆς προστακτικῆς τονίζεται ἐπὶ τῆς ληγούσης, ἀλλὰ μετὰ δισυλλάβου προθέσεως, ἀναβιβάζει τὸν τόνον, θοῦ περίθου, δοῦ ἀπόδου, ἀλλὰ προσθοῦ, ἀλλ' ἀφοῦ, ἐνοῦ, προδοῦ.

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** τίθησι, τίθει, καθιστάναι, ὑπανίστανται, δίδωσι, δίδομεν, δέδοται, ἀποστήσονται, ἐτίθεμεν, περιέθηκαν, διδοῖμεν, ἔδωκαν, κατασταθείς, θεῖμεν, προδοθείς, ἔδομεν, τεθείκασιν, ἔστη, θεῖναι, δεικνύναι.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1) Ὁ λόγος καλὸν τῇ ψυχῇ περιτίθησι σῶμα. 2) Τοὺς κενοὺς ἀσκοὺς τὸ πνεῦμα διΐστησι. 3) Χεῖρα πίπτοντι δίδου. 4) Ὁ Θεὸς πάντα τίθησιν, ὅπως ἐθέλει. 5) Παράστητε ἡμῖν, ὦ θεοί. 6) Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος. 7) Οἱ παλαιοὶ ἐπιδεικνύασι τὰ τῶν παλαιῶν ἀνδρῶν ἔργα. 8) Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά. 9) Δίκην διδόντων οἱ τοὺς νόμους παραβαίνοντες. 10) Δός μοι ποῦ στῶ καὶ τὴν γῆν κινήσω. 11) Ἡ γεωργία πολὺ ἂν ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη, τοῖς κάλλιστα τὴν γῆν ἐργαζομένοις. 12) Τὸν υἱὸν ἐκθεῖναι ἔδωκε νομεῖ. 13) Φέρε, ὃ ἂν θεὸς διδῷ γενναίως. 14) Μὴ συντίθεσο φιλίαν κακοῖς. 15) Τοῦτον τὸν νόμον ὁ θεὸς τέθεικεν· εἴ τι ἀγαθὸν θέλεις παρὰ σεαυτοῦ λαβέ. 16) Χάρις χάριτι ἀποδίδοται.

### Ῥήματα εἰς μι εἶναι τὰ ἑξῆς.

167. α'. Κατὰ τὸ ἵστημι·

1. πί-μ-πλη-μι, μέλ. πλήσω, ἀόρ. ἔπλησα, πρκ. πέπληκα-πί-μπλα-μαι, μέλ. πλησθήσομαι, ἀόρ. ἐπλήσθην, πρκ. πέπλησμαι.

2. πίμ-πρη-μι, μέλ. πρήσω, ἀόρ. ἔπρησα.

3. κί-χρη-μι, μέλ. χρήσω, ἀόρ. ἔχρησα, πθ. πρκ. κέχρη-μαι.

4. ὀ-νί-νημι, μέλ. ὀνήσω, ἀόρ. ὤνησα, μέσ. μέλ. ὀνήσομαι, πθ. ἀόρ. ὠνήθην καὶ β' ὠνήμην, εὐκ. ὀναίμην, ἀπαρ. ὄνασθαι.

5. φημὶ (§ 183).

178. β'. Κατὰ τὸ ἵσταμαι τὰ ἑξῆς ἀποθετικά·

1. ἄγαμαι, μέλ. ἀγάσομαι, ἀόρ. πθ. ἠγάσθην.

2. δύναμαι, σαι (νῃ) κλ., μέλ. δυνήσομαι, πρκ. δεδύνημαι, ἀόρ. ἐδυνήθην καὶ ἠδυνήθην.

3. ἐπίσταμαι, μέλ. ἐπιστήσομαι, ἀόρ. ἠπιστήθην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4. κρέμαμαι, μέλ. κρεμήσομαι.

5. πρίαμαι, ἀόρ. β' ἐπριάμην (§ 172).

179. γ'. Κατὰ τὸ τίθημι καὶ τὸ ἵημι (§ 170).

180. δ'. Κατὰ τὸ δίδωμι οὐδὲν ἄλλο σχηματίζεται εἰς μι, ἀλλὰ μόνον ἀόριστοί τινες (§ 182).

181. ε'. Κατὰ τὸ δείκνυμι τὰ ἑξῆς.

α'. τὰ εἰς νυμι· εἶναι δὲ ταῦτα:

1. (κάτ-) ἄγ-νυ-μι, ἀπ. ἀγνύναι, μέλ. (κατ-άξω), ἀόρ. (κατ-έαξα), ἀπ. κατᾶξαι, πρκ. β' κατ-έαγα.

2. ζεύγ-νυ-μι, μέλ. ζεύξω, ἀόρ α' πθ. ἐζεύχθην, ἀόρ. β' παθ. ἐζύγην, πρκ. ἔζευγμαι.

3. μίγνυ-μι, μέλ. μίξω, ἀόρ. ἔμιξα, πρκ. μέμιχα, παθ. μίγ-νυ-μαι, μέλ. μιχ-θήσομαι, ἀόρ. μέσ. ἐμιξάμην, πθ. ἐμίχθην, ἀόρ. β' πθ. ἐμίγην, πρκ. μέμιγμαι.

4. ἀπόλ-λυμι, μέλ. ἀπολῶ, -εῖς, -εῖ κλ., ἀόρ. ἀπώλεσα, πρκ. α' ἀπολώλεκα (= ἔχω ἀπολέσει), β' ἀπόλωλα (εἶμαι χαμένος), μέσ. ἀόρ. β' ἀπωλόμην.

5. ὄμ-νυ-μι, μέλ. ὀμοῦμαι, -εῖ, -εῖται κλ., ἀόρ. ὤμοσα, πρκ. ὀμώμοκα, παθ. ὀμώμοσμαι.

6. πήγ-νυ-μι, μέλ. πήξω, ἀόρ. ἔπηξα, πρκ. πέπηγα, πθ. μέλ. β' παγήσομαι, ἀόρ. β' ἐπάγην.

7. ῥήγ-νυ-μι, μέλ. ῥήξω, ἀόρ. ἔρρηξα, πρκ. β' ἔρρωγα, παθ. ῥήγ-νυμαι, πθ. μέλ. β' ραγήσομαι, πθ. ἀόρ. β' ἐρράγην.

β'. τὰ εἰς -ν-νυμι· εἶναι δὲ ταῦτα:

8. κεράν-νυ-μι, μέλ. κερῶ, -ᾷς, -ᾷ κλ. (§ 150, 1), ἀόρ. ἐκέρασα, πθ. μέλ. κραθήσομαι, ἀόρ. ἐκράθην, πρκ. κέκραμαι.

9. κρεμάν-νυ-μι, μέλ. κρεμῶ, -ᾷς, -ᾷ κλ. (§ 150, 1), ἀόρ. ἐκρέμασα, μέσ. μέλ. κρεμάσομαι, παθ. ἀόρ. ἐκρεμάσθην, πρκ. κρέμαμαι.

10. πετάν-νυ-μι (καὶ πετανύω), μέλ. πετῶ, ᾷς, ᾷ κλ. (§ 150, 1), ἀόρ. ἐπέτασα, πθ. ἀόρ. ἐπετάσθην, πθ. πρκ. πεπέταμαι.

11. σκεδάν-νυ-μι, μέλ. σκεδῶ, ᾷς, ᾷ κλ. (§ 150, 1), ἀόρ. ἐσκέδασα· πθ. ἀόρ. ἐσκεδάσθην, πρκ. ἐσκέδασμαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

12. ἀμφιέν-νυ-μι, μέλ. ἀμφιῶ, εῖς, εῖ, κλ. (§ 150, 1), ἀόρ. ἠμφίεσα, πθ. ἀμφιέν-νυ-μαί τι, μέλ. ἐνδύσομαι, ἀόρ. ἐνέδυν, πρκ. ἐνδέδυκα ἠμφίεσμαι.

13. σβέν-νυ-μι, μέλ. σβέσω, ἀόρ. α' ἔσβεσα, ἀόρ. β' ἔσβην, πρκ. ἔσβεσμαι, μέσ. μέλ. ὡς πθ. σβήσομαι, πθ. ἀόρ. ἐσβέσθην.

14. ζών-νυμι, μελ. ζώσω, ἀόρ. ἔζωσα, πρκ. (ἔζω(σ)μαι.

15. ῥών-νυ-μι, μέλ. ῥώσω, ἀόρ. ἔρρωσα, πθ. ἀόρ. ἐρρώσθην, πρκ. ἔρρωμαι, πρστ. ἔρρωσο, ἀπ. ἐρρῶσθαι.

16. στρών-νυμι, μέλ. στρώσω, ἀόρ. ἔστρωσα, πθ. ἀόρ. ἐστρώθην, πρκ. ἔστρωμαι, μετ. ἐστρωμένος.

Σημ. Πολλὰ ῥήματα εἰς -μι σχηματίζονται καὶ κατὰ τὰ εἰς ω δείκνυμι καὶ δεικνύω, πήγνυμι καὶ πηγνύω, ἀνοίγνυμι καὶ ἀνοίγω.

**Παραδείγματα πρὸς ἀναγνώρισιν.** ἐπίστασο, δύναται, καταζευγνύναι, δύνωμαι, ἐμπίπρησι, ὄναιο, ὀνήσειεν, σβέννυμεν, ἐρρωμένος, στρώννυς, κατέαξαν, ἐμπίπλατε, ἐμπιπλάς, διαρρηγνύς, ἀπόλλυται, ἐπετάννυτε, ἠμφίεσε, μετημφιεσμένος, διεσκεδασμένος, ἠμφίεσο.

**Παραδείγματα πρὸς ἄσκησιν.** 1) Εἰ μὴ φυλάξεις μικρά, ἀπολεῖς τὰ μείζω. 2) Ἡ σαλαμάνδρα διὰ τοῦ πυρὸς βαδίζουσα κατασβέννυσι τὸ πῦρ. 3) Αἱ μέλιτται τύπτουσαι ἀπόλλυνται. 4) Πῦρ οὐ σβέννυται πῦρ. 5) Ἡ θύρα ἡ ἐμὴ ἀνέῳκτο, ἀνεῴξεται δὲ καὶ νῦν. 6) Ἀρετῆς κλέος οὔ ποτ' ὄλλεῖται. 7) Οὐ πάντα λευκά, οἷς μέλανα οὐ μέμικται. 8) Τὸ δίκαιον μέγα ὀνίνησι τοὺς ἀνθρώπους. 9) Ἀλέξανδρος ἐνέπρησε τὴν Περσέως πόλιν. 10) Προοῦ μᾶλλον τὴν οὐσίαν ἢ τὸ δίκαιον. 11) Κακῶς ἀεὶ μάχονται στρατιαὶ ταραχῆς τε καὶ ἀκοσμίας ἐμπεπλησμέναι. 12) Ἃ σοι τύχη κέχρηκε, ταῦτ' ἀφείλετο. 13) Ἥλιος σκεδάννυσι τὴν ἀχλύν. 14) Οἱ Τύριοι Ἀλεξάνδρῳ τῷ μεγάλῳ οὐκ ἀνέῳξαν τὰς πύλας. 15) Αἱ ὄρνιθες τοῖς πτεροῖς πέτονται, τῷ δὲ ῥάμφει τὰς καλιὰς πήγνυνται. 16) Πολλοὶ τῶν πολεμίων ἀπώλοντο ὑπὸ λιμοῦ. 17) Ἡ γέφυρα κατερράγη. 18) Ὀμώμοκεν ὁ δικαστὴς δικάσειν κατὰ τοὺς νόμους 19) Χειμὼν κατέαξε τὰς ναῦς τῶν Ἀθηναίων. 20) Χρημάτων οὐκ ἂν πρίαιο ἀρετήν. 21) Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**Ἀόριστοι β' κατὰ τὰ εἰς μι.**

181. Ῥήματά τινα σχηματίζουσιν ἐκ τοῦ μακροῦ θέματος (**α, η, ω, υ,**) ἀόρ. β' κατὰ τὰ εἰς **μι**, ταῦτα δ' εἶναι τὰ ἑξῆς·

α'. Κατὰ τὸ **ἔστην** οἱ· **ἔβην** (βαίνω), **ἔφθην** (φθάνω), **ἀπέδραν** (ἀποδιδράσκω), **ἐπριάμην** (§ 172).

β'. Κατὰ τὸ **ἔβην** οἱ· **ἀπέσβην** (ἀποσβέννυμι), **ἐρρύην** (ῥέω), **ἐχάρην** (χαίρω).

γ'. Κατὰ τὸ **ἔδω** (ἄχρηστον) οἱ· **ἔγνων** (γιγνώσκω), **ἐβίων** (βιόω), **ἑάλων** (ἁλίσκω).

δ'. Διὰ μακροῦ **υ** οἱ· **ἔδυν** (δύομαι), **ἔφυν** (φύω). Σχηματίζονται δ' οἱ ἀόριστοι οὗτοι ὡς ἑξῆς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

| | Ὁριστική | Ὑποτακτική | Εὐκτική | Προστακτική | Ἀπαρέμφατος |
|---|---|---|---|---|---|
| Ἑν. | ἔβην | βῶ | βαίην | | βῆναι |
| | ἔβης | βῇς | βαίης | βῆ-θι | |
| | ἔβη | βῇ | βαίη | βή-τω | Μετοχή |
| Πλ. | ἔβημεν | βῶμεν | βαῖμεν | | βάς, βάντος |
| | ἔβητε | βῆτε | βαῖτε | βῆ-τε | βᾶσα, βάσης |
| | ἔβησαν | βῶσι(ν) | βαῖεν | βά-ντων | βάν, βάντος |
| Ἑν. | ἀπ-έδρα-ν | ἀπο-δρῶ | ἀποδραίην | | Ἀπαρέμφατος |
| | ἀπ-έδρα-ς | ἀπο-δρᾷς | ἀποδραίης | | ἀποδρᾶναι |
| | ἀπ-έδρα | ἀπο-δρᾷ | ἀποδραίη | | Μετοχή |
| Πλ. | ἀπέδραμεν | ἀποδρῶμεν | ἀποδραῖμεν | | ἀποδράς-άντος |
| | ἀπέδρατε | ἀποδρᾶτε | ἀποδραῖτε | | ἀποδρᾶσα-άσης |
| | ἀπέδρασαν | ἀποδρῶσι | ἀποδραῖεν | | ἀποδράν-άντος |
| Ἑν. | ἐρ-ρύην | ῥυῶ | ῥυείην | | Ἀπαρέμφατος |
| | ἐρ-ρύης | ῥυῇς | ῥυείης | | ῥυῆναι |
| | ἐρ-ρύη | ῥυῇ | ῥυείη | | Μετοχή |
| Πλ. | ἐρ-ρύημεν | ῥυῶμεν | ῥυεῖμεν | | ῥυείς-έντος |
| | ἐρ-ρύητε | ῥυῆτε | ῥυεῖτε | | ῥυεῖσα-είσης |
| | ἐρ-ρύησαν | ῥυῶσ((ν) | ῥυεῖεν | | ῥυέν-έντος |
| Ἑν. | ἔ-γνων | γνῶ | γνοίην | | Ἀπαρέμφατος |
| | ἔ-γνως | γνῷς | γνοίης | γνῶ-θι | γνῶναι |
| | ἔ-γνω | γνῷ | γνοίη | γνώ-τω | Μετοχή |
| Πλ. | ἔ-γνωμεν | γνῶμεν | γνοῖμεν | | γνούς-γνόντος |
| | ἔ-γνωτε | γνῶτε | γνοῖτε | γνῶ-τε | γνοῦσα-γνούσης |
| | ἔ-γνωσαν | γνῶσι(ν) | γνοῖεν | γνό-ντων ἢ | γνόν-γνόντος |
| | | | | γνώ-τωσαν | |
| Ἑν. | ἔ-δυν | δύω | δυίην | | Ἀπαρέμφατος |
| | ἔ-δυς | δύῃς | δύην | δῦ-θι | δῦναι |
| | ἔ-δυ | δύῃ | | δύ-τω | Μετοχή |
| Πλ. | ἔ-δυμεν | δύωμεν | | | δύς-δύντος |
| | ἔ-δυτε | δύητε | | δῦ-τε | δῦσα-δύσης |
| | ἔ-δυσαν | δύωσι(ν) | | δύντων | δύν-δύντος |

Ἐπριάμην ἰδὲ § 172.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### Παραδείγματα πρὸς ἀναγνώρισιν.

Ἔφθασεν—ἀνέβησαν—συμβαίνει—συμβῇ—τοῖς παραβᾶσι—γνῶναι—ἀποδρᾶναι—γνοὺς—βιῶναι—ἁλῶναι—γνοῖεν.

### Παραδείγματα πρὸς ἄσκησιν.

1) Οἱ Ἀθηναῖοι ἔφθασαν τοὺς Πέρσας ἀφικόμενοι εἰς τὴν πόλιν.—2) Ἀφροδίτη ἀναδῦναι λέγεται ἐκ τοῦ ἀφροῦ τῆς θαλάσσης.—3) Θαλῆς ἐρωτηθεὶς τί δύσκολον, ἔφη· τὸ ἑαυτὸν γνῶναι. 4) Τὴν τύχην, ἐάν τι παρὰ δόξαν συμβῇ, αἰτιώμεθα.—5) Τῷ δεκάτῳ ἔτει Τροία ἑάλω. — 6) Οὐκ ἂν πρίαιο ἀρετὴν χρημάτων. — 7) Πόσον χρόνον βιῴης ;—8) Ἃ δρᾷ τις καὶ πείσεται.—9) Ἐὰν ἁλῷ τις κλέπτων παρὰ Λοκροῖς τοὺς ὀφθαλμοὺς ἐξορύττεται.—10) Κλεαίνετος οἰκίαν ἐπρίατο παρὰ Ναυσικράτους εἴκοσι μνῶν. — 11) Ὁ ἥλιος καταδὺς οὐδένα τῶν ζώντων εὐφραίνει.—12) Ὕβρις κακὸν μέγιστον ἀνθρώποις ἔφυ. — 13) Σκιπίων τέτταρα καὶ πεντήκοντα ἔτη βιοὺς οὐδὲν οὔτε ἐπρίατο, οὔτε ἀπέδοτο· οὕτως ὀλίγων ἐδεῖτο.—14) Ἡρακλῆς καὶ Ὀρφεὺς ζῶντες εἰς Ἅδου κατέβησαν.—15) Συγγνῶμεν τοῖς ἄλλοις τὰ ἁμαρτήματα.

### Ῥήματα ἐλλιπῆ.

183. α΄. φημὶ (θέμα φα-, φη-) = λέγω.

| | | Ὁριστική | | Ὑποτακτική | Εὐκτική | Προστακτικ. | Ἀπαρέμφατον |
|---|---|---|---|---|---|---|---|
| Ἐνεστώς | Ἑν. | φημὶ | | φῶ | φαίη-ν | | |
| | | φῄ-ς | | φῇς | φαίη-ς | φά-θι καὶ φαθὶ | φάναι |
| | | | | | | | Μετοχή |
| | | φη-σί(ν) | ἐγκλίνονται | φῇ | φαίη | φά-τω | φάσκων |
| | Δ. | φα-τὸν | | φῆ-τον | φαῖ-τον | φά-τον | ουσα, ον |
| | | φα-τὸν | | φῆ-τον | φαί-την | φά-των | |
| | Πλ. | φα-μὲν | | φῶ-μεν | φαῖ-μεν | | Μέλ. φή-σω |
| | | φα-τὲ | | φῆ-τε | φαῖ-τε | φά-τε | Ὁρ. Ἀόρ. α΄. |
| | | φα-σί(ν) | | φῶ-σι | φαῖ-εν | φά-ντω-ν | ἔφη-σα |

